GREEK SERIES · VOLUME 31

Memorabilia

Xenophon

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ

Memorabilia

Xenophon's Recollections of Socrates, with His Apology

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 31 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Gilbert's Teubner Memorabilia
and Dindorf's Teubner Apology

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are printed between their square brackets,
words they supply without marks; † marks a place they hold corrupt.

CONTENTS

MEMORABILIA

BOOK I

I · Socrates and the Gods 11
II · The Charge of Corrupting the Young 20
III · Piety and Self-Control 49
IV · The Design of the Gods 57
V · Self-Control the Foundation 66
VI · Socrates and Antiphon 69
VII · Against Pretension 76

BOOK II

I · The Choice of Heracles 81
II · Lamprocles and His Mother 101
III · Two Quarreling Brothers 108

MEMORABILIA

(continued)

BOOK II

(continued)

IV · The Worth of Friends 117
V · What Is a Friend Worth? 120
VI · Testing and Winning Friends 122
VII · Aristarchus' Household 138
VIII · Eutherus Takes a Steward's Post 146
IX · Crito's Watchdog 148
X · Diodorus and Hermogenes 152

BOOK III

I · The Teacher of Generalship 155
II · The Shepherd of the People 160
III · The Cavalry Commander 162
IV · The Good Manager 168
V · Pericles and the Athenians 173
VI · Glaucon's Ambition 184
VII · Charmides' Shyness 192
VIII · The Good and the Beautiful 196
IX · Definitions 201
X · Painter, Sculptor, and Armorer 208
XI · Theodote 215

MEMORABILIA

(continued)

BOOK III

(continued)

XII · Epigenes Out of Condition 223
XIII · Sayings 227
XIV · At Dinner 230

BOOK IV

I · Socrates' Usefulness 235
II · Euthydemus Humbled 238
III · Gratitude to the Gods 260
IV · Justice and the Laws 270
V · Self-Control and Freedom 283
VI · Definitions with Euthydemus 289
VII · How Far to Study 298
VIII · Socrates' Death 303

APOLOGY OF SOCRATES

I · The Divine Sign 313
II · The Defense 317
III · After the Verdict 323
IV · The Last Words 326

XENOPHON

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ

Memorabilia

BOOK I

I · SOCRATES AND THE GODS

Xenophon wonders how the Athenians were persuaded that Socrates deserved death for not believing in the city's gods. He sacrificed openly, sent friends to divination for what the gods keep hidden, and his divine sign was no stranger than omens. Unlike the natural philosophers, he asked not how the heavens came to be but what piety, justice, courage, and the state are. As chairman he refused an unlawful vote, and he held that the gods know all things.

Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν 1
often I-have-wondered by-what ever arguments the-Athenians persuaded
οἱ γραψάμενοι Σωκράτη ὡς ἄξιος εἴη θανάτου τῇ
the having-indicted Socrates that worthy he-was of-death by-the
πόλει. ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις
city the indeed for indictment against him such some(-thing)
ἦν· ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς
was does-wrong Socrates whom indeed the city believes-in gods
οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ
not believing-in other but new divinities introducing does-wrong
δὲ καὶ τοὺς νέους διαφθείρων.
and also the young corrupting

Πρῶτον μὲν οὖν ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει 2
first indeed then that not he-believed-in whom the city believes-in
θεοὺς ποίῳ ποτ᾽ ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ
gods what-sort ever did-they-use proof sacrificing both for
φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν
manifest he-was often indeed at-home often and at the
κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ
common of-the city altars and divination using not
ἀφανὴς ἦν. διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ
unseen was it-had-been-noised-about for that said Socrates the

δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι
divine-sign to-himself to-give-signs whence indeed also most to-me
δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.
they-seem him to-have-charged new divinities to-introduce

3 ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι
he but nothing newer introduced than-the others as-many-as
μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ
divination believing-in birds both use and utterances and
συμβόλοις καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν
tokens and sacrifices these both for suppose
οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ
not the birds nor the meeting(-them) to-know the
συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ
advantageous-things for-the consulting but the gods through
τούτων αὐτὰ σημαίνειν, κἀκεῖνος δὲ οὕτως ἐνόμιζεν.
these them to-signify and-that-one and so believed

4 ἀλλ' οἱ μὲν πλεῖστοί φασιν ὑπό τε τῶν ὀρνίθων καὶ
but the indeed most say by both the birds and
τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι·
the meeting(-them) to-be-turned-away both and to-be-urged-on
Σωκράτης δ' ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον
Socrates but as he-judged so he-spoke the divine-sign
γὰρ ἔφη σημαίνειν. καὶ πολλοῖς τῶν συνόντων
for he-said to-give-signs and to-many of-the associating(-with-him)
προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς
he-foretold the-things indeed to-do the-others but not to-do as
τοῦ δαιμονίου προσημαίνοντος· καὶ τοῖς μὲν πειθομένοις
the divine-sign giving-signs-beforehand and to-the indeed obeying
αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.
him it-was-advantageous to-the but not obeying it-was-regretted

καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ’ 5
and-yet who not — would-agree him to-wish neither
ἠλίθιον μήτ’ ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν;
foolish nor a-boaster to-appear to-the associating(-with-him)
ἐδόκει δ’ ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς
he-would-have-seemed but — both these-things if foretelling as
ὑπὸ θεοῦ φαινόμενα [καὶ] ψευδόμενος ἐφαίνετο· δῆλον οὖν
by god appearing and lying he-was-shown clear then
ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν·
that not — he-would-have-foretold if not he-trusted to-be-going-to-speak-truly
ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; πιστεύων
these-things but who — in-another would-trust than in-god trusting
δὲ θεοῖς πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν; ἀλλὰ μὴν ἐποίει
but gods how not to-exist gods did-he-believe but surely he-did
καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους.
also these-things to the intimates
τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς 6
the indeed for necessary-things he-advised also to-do as
νομίζοιεν ἄριστ’ ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων
they-might-think best — to-be-done about but the uncertain-things
ὅπως ἀποβήσοιτο μαντευσομένους ἔπεμπεν, εἰ ποιητέα.
how they-would-turn-out to-consult-the-oracle he-sent(-them) whether to-be-done
καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν 7
and the intending households both and cities finely to-manage
μαντικῆς ἔφη προσδεῖσθαι· τεκτονικὸν μὲν γὰρ ἢ
of-divination he-said to-need-besides carpentry indeed for or
χαλκευτικὸν ἢ γεωργικὸν [ἢ ἀνθρώπων ἀρχικὸν] ἢ τῶν
smithing or farming or of-men ruling or —
τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν
of-such works examining or reckoning or household-managing

ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ
or generalship to-become all — such studies also
ἀνθρώπου γνώμῃ αἱρετὰ ἐνόμιζεν εἶναι·
of-man by-judgment to-be-chosen he-thought to-be
8 τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς
the but greatest-things of-the in these he-said the gods for-themselves
καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις.
to-reserve of-which nothing clear to-be to-the men
οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον ὅστις
neither for to-the finely a-field having-planted clear who
καρπώσεται, οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον
will-reap-the-fruit nor to-the finely a-house having-built clear
ὅστις ἐνοικήσει, οὔτε τῷ στρατηγικῷ δῆλον εἰ συμφέρει
who will-live-in(-it) nor to-the general-minded clear whether it-profits
στρατηγεῖν, οὔτε τῷ πολιτικῷ δῆλον εἰ συμφέρει τῆς
to-command nor to-the statesman clear whether it-profits the
πόλεως προστατεῖν, οὔτε τῷ καλὴν γήμαντι,
city to-lead nor to-the a-beautiful(-woman) having-married
ἵν' εὐφραίνηται, δῆλον εἰ διὰ ταύτην ἀνιάσεται,
so-that he-may-be-gladdened clear whether through her he-will-be-grieved
οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον
nor to-the powerful in the city in-laws having-taken clear
εἰ διὰ τούτους στερήσεται τῆς πόλεως.
whether through them he-will-be-deprived of-the city
9 τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ
the but nothing — of-such thinking to-be divine but
πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ
all-things of-the human judgment to-be-possessed he-said to-be-possessed and
καὶ τοὺς μαντευομένους ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ
also the consulting-oracles what to-the men gave the gods
μαθοῦσι διακρίνειν, οἷον εἴ τις ἐπερωτῴη πότερον
having-learned to-decide for-instance if someone should-ask whether

ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον ἢ μὴ
knowing to-drive-a-chariot for a-team to-take better or not
ἐπιστάμενον, ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν
knowing or whether knowing to-steer for the
ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον, ἢ ἃ ἔξεστιν
ship better to-take or not knowing or what it-is-possible
ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι, τοὺς τὰ
having-counted or having-measured or having-weighed to-know the —
τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιτα ποιεῖν
such-things from the gods inquiring unlawful-things to-do
ἡγεῖτο. ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν
he-thought he-said and to-be-needful what indeed having-learned to-do gave
οἱ θεοί, μανθάνειν, ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί,
the gods to-learn what but not clear to-the men is
πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι·
to-try through divination from the gods to-inquire
τοὺς θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεῳ σημαίνειν.
the gods for to-whom — they-are gracious to-give-signs
Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ· πρῴ 10
but surely that-one at-least always indeed was in the open early
τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει καὶ
both for to the walks and the gymnasia he-went and
πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς
being-full of-the-market there visible he-was and the rest always of-the
ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε
day he-was where most he-was-likely to-be-with and he-spoke
μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.
indeed for the most-part to-the and wishing it-was-possible to-hear
οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον 11
no-one but ever of-Socrates anything impious or unholy
οὔτε πράττοντος εἶδεν οὔτε λέγοντος ἤκουσεν. οὐδὲ γὰρ
either doing saw or saying heard not-even for

περὶ τῆς τῶν πάντων φύσεως ἥπερ τῶν ἄλλων
about the of-the all-things nature in-the-way-that of-the others
οἱ πλεῖστοι διελέγετο σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ
the most did-he-converse examining how the so-called by
τῶν σοφιστῶν κόσμος ἔχει καὶ τίσιν ἀνάγκαις ἕκαστα
the sophists cosmos is and by-what necessities each-thing
γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ
comes-about of-the heavenly-things but even the pondering —
τοιαῦτα μωραίνοντας ἀπεδείκνυε.
such-things being-foolish he-showed(-to-be)

12 καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει πότερά ποτε νομίσαντες
and first indeed of-them he-examined whether ever thinking
ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι ἔρχονται ἐπὶ τὸ περὶ τῶν
sufficiently already the-human-things to-know they-come to the about —
τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ
such-things to-ponder or the indeed human-things having-let-pass the
δαιμόνια δὲ σκοποῦντες ἡγοῦνται τὰ προσήκοντα πράττειν.
divine-things but examining they-think the fitting-things to-do

13 ἐθαύμαζε δ' εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν ὅτι ταῦτα
he-wondered and if not evident to-them it-is that these-things
οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς
not possible it-is for-men to-find since even the
μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ
most priding-themselves on the about these to-speak not
ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις
the-same-things to-opine with-one-another but to-the mad
ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους.
alike to-be-disposed toward one-another

14 τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ
of-the both for mad the indeed not-even the dreadful-things
δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι, καὶ τοῖς
to-fear the but even the not fearful-things to-fear and to-the

μὲν οὐδ᾽ ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν
indeed not-even in a-crowd to-seem shameful to-be to-say or to-do
ὁτιοῦν, τοῖς δὲ οὐδ᾽ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι
anything-whatever to-the but not-even to-be-gone-out among men to-be
δοκεῖν, καὶ τοὺς μὲν οὔθ᾽ ἱερὸν οὔτε βωμὸν οὔτ᾽ ἄλλο
to-seem and the indeed neither temple nor altar nor other
τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα
of-the divine-things anything to-honor the but even stones and woods
τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν
the chance and beasts to-revere of-the both about the of-the
πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον
all-things nature taking-thought to-the indeed to-seem one only
τὸ ὂν εἶναι, τοῖς δ᾽ ἄπειρα τὸ πλῆθος, καὶ τοῖς μὲν
the being to-be to-the but infinite the multitude and to-the indeed
ἀεὶ πάντα κινεῖσθαι, τοῖς δ᾽ οὐδὲν ἄν ποτε κινηθῆναι,
always all-things to-be-moved to-the but nothing — ever to-be-moved
καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς
and to-the indeed all-things to-come-to-be both and to-perish to-the
δὲ οὔτ᾽ ἂν γενέσθαι ποτὲ οὐδὲν οὔτε ἀπολέσθαι.
but neither — to-come-to-be ever anything nor to-perish
ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε, ἆρ᾽ ὥσπερ οἱ 15
he-examined and about them also these-things whether as the
τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ᾽ ὅ τι ἂν
the-human-things learning think this what ever —
μάθωσιν ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν
they-learn for-themselves both and of-the others for-whomever —
βούλωνται ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες
they-wish to-be-going-to-do so also the the divine-things seeking
νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται,
think when they-know by-what necessities each-thing comes-about
ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα
to-be-going-to-make whenever they-wish both winds and waters

καὶ ὥρας καὶ ὅτου ἂν ἄλλου δέωνται τῶν τοιούτων,
and seasons and whatever — else they-need — of-such
ἢ τοιοῦτον μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς
or such indeed nothing even they-hope it-suffices but for-them
γνῶναι μόνον ᾗ τῶν τοιούτων ἕκαστα γίγνεται.
to-know only how — of-such each-thing comes-about

16 περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα
about indeed then the these-things busying-themselves-with such-things
ἔλεγεν· αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο
he-said himself but about the human-things always conversed
σκοπῶν τί εὐσεβές, τί ἀσεβές, τί καλόν, τί αἰσχρόν,
examining what pious what impious what fine what shameful
τί δίκαιον, τί ἄδικον, τί σωφροσύνη, τί μανία, τί
what just what unjust what temperance what madness what
ἀνδρεία, τί δειλία, τί πόλις, τί πολιτικός, τί ἀρχὴ
courage what cowardice what a-city what a-statesman what rule
ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων, καὶ περὶ τῶν ἄλλων,
of-men what one-fit-to-rule of-men and about the other-things
ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς κἀγαθοὺς εἶναι,
which the indeed knowing he-thought fine and-good to-be
τοὺς δ' ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.
the but not-knowing slavish — justly to-be-called

17 Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν,
as-many-as indeed then not evident he-was how he-judged
οὐδὲν θαυμαστὸν ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι
nothing wonderful about these concerning him to-misjudge
τοὺς δικαστάς· ὅσα δὲ πάντες ᾔδεσαν, οὐ θαυμαστὸν
the judges as-many-as but all knew not wonderful
εἰ μὴ τούτων ἐνεθυμήθησαν;
if not these-things they-considered

βουλεύσας γάρ ποτε καὶ τὸν βουλευτικὸν ὅρκον 18
having-been-councilor for once and the councilor's oath
ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν,
having-sworn in which it-was according-to the laws to-deliberate
ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ
chairman in the assembly having-become having-desired the
δήμου παρὰ τοὺς νόμους [ἐννέα στρατηγοὺς] μιᾷ ψήφῳ
people contrary-to the laws nine generals by-one vote
τοὺς ἀμφὶ Θράσυλλον καὶ Ἐρασινίδην ἀποκτεῖναι πάντας,
the around Thrasyllus and Erasinides to-put-to-death all
οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ
not he-was-willing to-put-to-the-vote being-angry indeed with-him the
δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ
people many but and powerful threatening but about
πλείονος ἐποιήσατο εὐορκεῖν ἢ χαρίσασθαι τῷ δήμῳ
more he-made to-keep-his-oath than to-gratify the people
παρὰ τὸ δίκαιον καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.
contrary-to the just and to-guard-against the threatening
καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων οὐχ ὃν 19
and for to-care gods he-believed for-men not in-the
τρόπον οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται
way the many believe these indeed for think
τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δ' οὐκ εἰδέναι·
the gods the-things indeed to-know the-others but not to-know
Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε
Socrates but all-things indeed he-thought gods to-know the both
λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα,
said and done and the in-silence deliberated
πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ
everywhere and to-be-present and to-give-signs to-the men about
τῶν ἀνθρωπείων πάντων.
the human-things all

20 Θαυμάζω οὖν ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι Σωκράτη
I-wonder then how ever were-persuaded the-Athenians Socrates
περὶ θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέν ποτε
about gods not to-be-sound-minded the impious indeed nothing ever
[περὶ τοὺς θεοὺς] οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ
about the gods either having-said or having-done such-things but
καὶ λέγοντα καὶ πράττοντα [περὶ θεῶν] οἷά τις ἂν καὶ
both saying and doing about gods such-as someone — both
λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.
saying and doing would-be both and would-be-thought most-pious

II · THE CHARGE OF CORRUPTING THE YOUNG

Socrates was the most self-controlled of men, took no fees, and taught by example. Against the accuser Xenophon answers: those who practice wisdom persuade rather than force; Critias and Alcibiades kept self-control while they were with him and went wrong only after leaving him. Socrates rebuked Critias' passion for Euthydemus, and the Thirty forbade him to talk with the young. Young Alcibiades' talk with Pericles on law shows what such men sought from him. The charges about fathers, kinsmen, and the poets are answered, and Socrates, who benefited all, deserved honor, not death.

1 Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας
wonderful and appears to-me also the to-have-been-persuaded some
ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς πρὸς τοῖς
that Socrates the young corrupted who besides the
εἰρημένοις πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων
things-said first indeed of-sex and of-belly of-all
ἀνθρώπων ἐγκρατέστατος ἦν, εἶτα πρὸς χειμῶνα καὶ
men most-self-controlled was then toward winter and
θέρος καὶ πάντας πόνους καρτερικώτατος, ἔτι δὲ πρὸς
summer and all toils most-enduring further and toward

τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως ὥστε πάνυ
the moderate-things to-need trained so so-that very
μικρὰ κεκτημένος πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα.
little-things possessing very easily to-have enough
πῶς οὖν αὐτὸς ὢν τοιοῦτος ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ 2
how then himself being such others — either impious or
παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ
lawless or gluttonous or of-sex uncontrolled or toward the
πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ᾽ ἔπαυσε μὲν τούτων
to-toil soft would-he-have-made but he-stopped indeed of-these
πολλούς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν καὶ ἐλπίδας παρασχών,
many virtue having-made to-desire and hopes having-provided
ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς κἀγαθοὺς ἔσεσθαι·
if themselves they-take-care-of fine and-good to-be-going-to-be
καίτοι γε οὐδεπώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου, 3
and-yet at-least never he-promised a-teacher to-be of-this
ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν ἐλπίζειν ἐποίει
but by-the evident to-be such being to-hope he-made
τοὺς συνδιατρίβοντας ἑαυτῷ μιμουμένους ἐκεῖνον τοιούτους
the spending-time-with him imitating that-one such
γενήσεσθαι.
to-be-going-to-become
ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει τούς 4
but surely also the body himself both not neglected the
τ᾽ ἀμελοῦντας οὐκ ἐπῄνει· τὸ μὲν οὖν ὑπερεσθίοντα
and neglecting(-it) not praised the indeed then over-eating
ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δέ, ὅσα ἡδέως ἡ ψυχὴ
to-over-toil he-disapproved the but as-much-as gladly the soul
δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε· ταύτην γὰρ
accepts these-things sufficiently to-work-off he-approved this for

τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι καὶ τὴν τῆς ψυχῆς
— state healthy both sufficiently to-be and the of-the soul
ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη.
care not to-hinder he-said
5 [ἀλλ᾽ οὐ μὴν θρυπτικός γε οὐδὲ ἀλαζονικὸς ἦν οὔτ᾽
but not surely luxurious at-least nor pretentious he-was either
ἀμπεχόνῃ οὔθ᾽ ὑποδέσει οὔτε τῇ ἄλλῃ διαίτῃ.] οὐ μὴν
in-dress or in-footwear or in-the other way-of-life not surely
οὐδ᾽ ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. τῶν
even money-loving at-least the associating(-with-him) he-made of-the
μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ
indeed for other desires he-stopped(-them) the but him
ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα.
desiring not he-exacted money
6 τούτου δ᾽ ἀπεχόμενος ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι·
from-this and abstaining he-thought for-freedom to-care
τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς
the but taking for-the company a-fee enslavers
ἑαυτῶν ἀπεκάλει διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι
of-themselves he-called because-of the necessary for-them to-be
διαλέγεσθαι παρ᾽ ὧν [ἂν] λάβοιεν τὸν μισθόν.
to-converse from whom — they-might-take the fee
7 ἐθαύμαζε δ᾽ εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον
he-wondered and if someone virtue professing silver
πράττοιτο καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν
should-exact and not should-think the greatest gain to-be-going-to-have
φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο μὴ ὁ γενόμενος
a-friend good having-acquired but should-fear lest the having-become
καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν
fine and-good to-the the greatest-things having-benefited not the
μεγίστην χάριν ἔξοι.
greatest gratitude would-have

Σωκράτης δὲ ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον 8
Socrates but promised indeed to-no-one ever such
οὐδέν, ἐπίστευε δὲ τῶν συνόντων ἑαυτῷ τοὺς
anything he-trusted but of-the associating with-himself the
ἀποδεξαμένους ἅπερ αὐτὸς ἐδοκίμαζεν εἰς τὸν πάντα
having-accepted what-very he-himself approved for the whole
βίον ἑαυτῷ τε καὶ ἀλλήλοις φίλους ἀγαθοὺς ἔσεσθαι.
life to-himself both and to-one-another friends good to-be-going-to-be
πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ
how — then — such man would-corrupt the young if
μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.
not then the of-the virtue care corruption is
Ἀλλὰ νὴ Δία, ὁ κατήγορος ἔφη, ὑπερορᾶν ἐποίει 9
but by Zeus the accuser said to-despise he-made
τῶν καθεστώτων νόμων τοὺς συνόντας, λέγων
the established laws the associating(-with-him) saying
ὡς μῶρον εἴη τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ
that foolish it-was the indeed of-the city rulers by
κυάμου καθιστάναι, κυβερνήτῃ δὲ μηδένα ἐθέλειν χρῆσθαι
bean to-appoint a-helmsman but no-one to-be-willing to-use
κυαμευτῷ μηδὲ τέκτονι μηδ' αὐλητῇ μηδ' ἐπ' ἄλλα
bean-chosen nor a-carpenter nor a-flute-player nor for other
τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα
such-things which much smaller harms going-wrong
ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων· τοὺς δὲ
cause than-the about the city going-wrong — but
τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν
such arguments to-excite he-said the young to-despise
τῆς καθεστώσης πολιτείας καὶ ποιεῖν βιαίους.
the established constitution and to-make(-them) violent

10 ἐγὼ δ᾽ οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας καὶ νομίζοντας
I but think the prudence practicing and thinking(-themselves)
ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας
able to-be-going-to-be the advantageous-things to-teach the citizens
ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ
least to-become violent knowing that to-the indeed violence
πρόσεισιν ἔχθραι καὶ κίνδυνοι, διὰ δὲ τοῦ πείθειν
attach enmities and dangers through but the to-persuade
ἀκινδύνως τε καὶ μετὰ φιλίας ταὐτὰ γίγνεται. οἱ
without-danger both and with friendship the-same-things come-about the
μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ
indeed for being-forced as having-been-robbed hate the but
πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν. οὔκουν τῶν φρόνησιν
persuaded as having-been-gratified love not-then of-the prudence
ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης
practicing the to-use-force but of-the strength without judgment
ἐχόντων [τὰ τοιαῦτα πράττειν] ἐστίν.
having — such-things to-do is

11 ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ᾽
but surely also allies the indeed to-use-force daring would-need
ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος οὐδενός· καὶ
— not few the but to-persuade able of-none and
γὰρ μόνος ἡγοῖτ᾽ ἂν δύνασθαι πείθειν. καὶ φονεύειν
for alone he-would-think — to-be-able to-persuade and to-murder
δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει· τίς γὰρ ἀποκτεῖναί
too — to-such least it-happens who for to-kill
τινα βούλοιτ᾽ ἂν μᾶλλον ἢ ζῶντι πειθομένῳ χρῆσθαι;
someone would-wish — rather than living obedient to-use

12 Ἀλλ᾽, ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ
but said at-least the accuser with-Socrates associates
γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ
having-become-the-two Critias both and Alcibiades most evils

τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ
the city the-two-did Critias indeed for of-the in the
ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος
oligarchy of-all most-grasping both and most-violent
[καὶ φονικώτατος] ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ
and most-murderous became Alcibiades but in-turn of-the in the
δημοκρατίᾳ πάντων ἀκρατέστατός τε καὶ ὑβριστότατος
democracy of-all most-uncontrolled both and most-insolent
[καὶ βιαιότατος].
and most-violent
ἐγὼ δ', εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, 13
I but if indeed any evil those-two the city did
οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτη συνουσίαν
not I-will-defend the but with Socrates association
αὐτοῖν ὡς ἐγένετο διηγήσομαι.
of-the-two how it-came-about I-will-relate
ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει 14
were indeed for indeed the two-men these-two by-nature
φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα
most-ambitious of-all Athenians wishing both all-things
δι' ἑαυτῶν πράττεσθαι καὶ πάντων ὀνομαστοτάτω
through themselves to-be-done and of-all most-renowned
γενέσθαι. ᾔδεσαν δὲ Σωκράτη ἀπ' ἐλαχίστων μὲν
to-become they-knew but Socrates from the-least indeed
χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν
means most-self-sufficiently living of-the pleasures but of-all
ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι
most-self-controlled being the and conversing with-him all
χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο.
using in the arguments as he-wished

15 ταῦτα δὲ ὁρῶντε καὶ ὄντε οἵω προείρησθον,
these-things and seeing-the-two and being-the-two such-as have-been-described-the-two
πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους
whether someone them-two would-say the life — of-Socrates
ἐπιθυμήσαντε καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν,
having-desired and the temperance which that-one had
ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλησαίτην
to-have-reached-for the company his or having-thought if they-two-associated
ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν;
with-that-one to-become — most-able to-speak both and to-act
16 ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν ἢ ζῆν
I indeed for think god giving to-them-two either to-live
ὅλον τὸν βίον ὥσπερ ζῶντα Σωκράτη ἑώρων ἢ τεθνάναι,
whole the life as living Socrates they-saw or to-be-dead
ἑλέσθαι ἂν μᾶλλον αὐτὼ τεθνάναι. δήλω δ' ἐγενέσθην
to-have-chosen — rather them-two to-be-dead clear-the-two and became
ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν
from what they-two-did as for quickly superior than-the
συγγιγνομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε
associates they-two-thought to-be straightway having-leapt-away
Σωκράτους ἐπραττέτην τὰ πολιτικά, ὥνπερ ἕνεκα
from-Socrates they-two-practiced the political-things of-which-very for-the-sake
Σωκράτους ὠρεχθήτην.
Socrates they-two-reached-for
17 Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα ὅτι ἐχρῆν τὸν
perhaps then would-say someone — to these-things that it-was-needful —
Σωκράτη μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας
Socrates not first the political-things to-teach the associates
ἢ σωφρονεῖν. ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω·
than to-be-temperate I but to this indeed not object
πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς
all but the teaching I-see themselves showing both to-the

μανθάνουσιν ἥπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι καὶ
learning how they-themselves do what they-teach and
τῷ λόγῳ προσβιβάζοντας. οἶδα δὲ καὶ Σωκράτη δεικνύντα
by-the argument bringing-on(-them) I-know and also Socrates showing
τοῖς συνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα καὶ διαλεγόμενον
to-the associates himself fine and-good being and conversing
κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων.
most-finely about virtue and the other human-things
οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔστε Σωκράτει 18
I-know and those-two-too being-temperate-the-two as-long-as with-Socrates
συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ
they-two-associated not fearing-the-two lest they-be-fined or be-beaten by
Σωκράτους, ἀλλ᾽ οἰομένω τότε κράτιστον εἶναι τοῦτο
Socrates but thinking-the-two then best to-be this
πράττειν.
to-do
Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν 19
perhaps then would-say — many of-the claiming to-philosophize
ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ
that not — ever the just unjust would-become nor the
σώφρων ὑβριστής, οὐδὲ ἄλλο οὐδὲν ὧν μάθησίς ἐστιν
temperate insolent nor other anything of-which learning there-is
ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ
the having-learned ignorant — ever would-become I but
περὶ τούτων οὐχ οὕτω γιγνώσκω· ὁρῶ γὰρ ὥσπερ τὰ
about these not so judge I-see for as the
τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ
of-the body works the not the bodies exercising not
δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς
able to-do so also the of-the soul works the

μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γὰρ ἃ
not the soul exercising not able neither for what
δεῖ πράττειν οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται.
it-is-needful to-do nor from-what it-is-needful to-abstain they-are-able
20 διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες,
wherefore also the sons the fathers even-if they-be temperate
ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν
nevertheless from the wicked men keep(-them) as the
μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς,
indeed of-the good company exercise being of-the virtue
τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. μαρτυρεῖ δὲ καὶ τῶν
the but of-the wicked destruction bears-witness and also of-the
ποιητῶν ὅ τε λέγων·
poets the both saying

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
good-men indeed for from good-things you-will-be-taught if but with-bad-men
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον,
you-mingle you-will-lose even the being mind

καὶ ὁ λέγων·
and the saying

Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός.
but a-man good at-one-time indeed bad at-another but good

21 κἀγὼ δὲ μαρτυρῶ τούτοις· ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ
and-I too bear-witness to-these I-see for as of-the in meter
πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους,
composed verses the not practicing forgetting
οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι
so also of-the instructive words for-the neglecting

λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετικῶν λόγων
forgetfulness arising when and of-the admonishing words
ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα
forgets someone be-has-forgotten also what the soul experiencing
τῆς σωφροσύνης ἐπεθύμει· τούτων δ' ἐπιλαθόμενον οὐδὲν
the temperance desired these but having-forgotten nothing
θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.
wonderful also the temperance to-forget

ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας καὶ τοὺς 22
I-see and also the into love-of-drinking led-on and the
εἰς ἔρωτας ἐγκυλισθέντας ἧττον δυναμένους τῶν τε
into love-affairs rolled-in less able of-the both
δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι.
needful-things to-take-care and from-the not needful-things to-abstain
πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν
many for even money able to-spare before
ἐρᾶν, ἐρασθέντες οὐκέτι δύνανται· καὶ τὰ χρήματα
to-love having-fallen-in-love no-longer are-able and the money
καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν,
having-spent-up from-which before they-abstained gains
αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται.
shameful thinking to-be from-these not they-abstain

πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν αὖθις 23
how then not is-it-possible having-been-temperate before again
μὴ σωφρονεῖν καὶ δίκαια δυνηθέντα πράττειν αὖθις
not to-be-temperate and just-things having-been-able to-do again
ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ
to-be-unable all indeed then to-me-at-least seems the fine-things and
τἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη.
the-good-things to-be-got-by-practice to-be not least and temperance
ἐν γὰρ τῷ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ
in for the same body planted-together with-the soul the

ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην
pleasures persuade it not to-be-temperate but the quickest
ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.
to-themselves both and to-the body to-gratify

24 Καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει
and Critias indeed and Alcibiades as-long-as indeed with-Socrates
συνήστην, ἐδυνάσθην ἐκείνῳ χρωμένω συμμάχῳ τῶν
they-two-associated the-two-were-able that-one using-the-two as-ally of-the
μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ' ἀπαλλαγέντε,
not fine desires to-master that-one but having-been-parted-the-two
Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν ἐκεῖ συνῆν ἀνθρώποις
Critias indeed having-fled into Thessaly there associated with-men
ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις, Ἀλκιβιάδης
lawlessness rather than justice using Alcibiades
δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν
but in-turn through indeed beauty by many and august
γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει
women being-hunted through power but the in the city
καὶ τοῖς συμμάχοις ὑπὸ πολλῶν καὶ δυνατῶν [κολακεύειν]
and the allies by many and powerful to-flatter
ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος
men being-spoiled by and the people being-honored
καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων
and easily being-first as the of-the gymnastic contests
ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως,
athletes easily being-first neglect the training
οὕτω κἀκεῖνος ἠμέλησεν αὑτοῦ.
so also-that-one neglected himself

25 τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ
such and having-happened to-the-two and swollen-the-two indeed on
γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει,
birth elated-the-two and on wealth puffed-up-the-two and on power

διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι
spoiled-the-two and by many men on and all
τούτοις [διεφθαρμένω] καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους
these corrupted-the-two and long time from Socrates
γεγονότε, τί θαυμαστὸν εἰ ὑπερηφάνω ἐγενέσθην;
having-been-the-two what wonderful if arrogant-the-two became-the-two
εἶτα, εἰ μέν τι ἐπλημμεληκάτην, τούτου Σωκράτη ὁ 26
then if indeed anything they-two-offended for-this Socrates the
κατήγορος αἰτιᾶται; ὅτι δὲ νέω ὄντε αὐτώ, ἡνίκα καὶ
accuser blames that but young being-the-two them-two when both
ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι, Σωκράτης
most-thoughtless-the-two and most-uncontrolled-the-two likely to-be Socrates
παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ
rendered temperate-the-two of-no praise seems to-the accuser
ἄξιος εἶναι; οὐ μὴν τά γε ἄλλα οὕτω κρίνεται.
worthy to-be not surely the at-least other-things so are-judged
τίς μὲν γὰρ αὐλητής, τίς δὲ κιθαριστής, τίς δὲ ἄλλος 27
what indeed for flute-player what and harp-player what and other
διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητάς, ἐὰν πρὸς ἄλλους
teacher able having-made the pupils if to others
ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς δὲ πατήρ,
having-gone worse they-appear blame has for-this what and father
ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῳ σωφρονῇ, ὕστερον
if the son his spending-time with-someone be-temperate later
δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται, τὸν
but with-another someone having-associated wicked becomes the
πρόσθεν αἰτιᾶται, ἀλλ᾽ οὐχ, ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ
earlier blames but not by-as-much-as — with the later
χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον;
worse he-appears by-so-much more praises the earlier

ἀλλ᾽ οἵ γε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων
but the at-least fathers themselves being-with the sons the children
πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν.
erring not blame have if themselves they-are-temperate

28 οὕτω δὲ καὶ Σωκράτη δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς
so and also Socrates just it-was to-judge if indeed he-himself
ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς
did something base reasonably — he-would-have-seemed wicked
εἶναι· εἰ δ᾽ αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως
to-be if but he-himself being-temperate continued how — justly
τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι;
of-the not being-in him vice blame would-he-have

29 Ἀλλ᾽ εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν ἐκείνους φαῦλα
but if even nothing himself wicked doing them base-things
πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπιτιμῷτο.
doing seeing he-praised justly — he-would-be-censured

[Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου
Critias indeed then perceiving loving Euthydemus
καὶ πειρῶντα χρῆσθαι, καθάπερ οἱ πρὸς τἀφροδίσια
and trying to-use(-him) like those for sexual-pleasures
τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε φάσκων
of-the bodies enjoying he-turned(-him)-away saying
ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ
illiberal both to-be and not fitting for-a-man fine and-good
τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι,
the beloved to-whom he-wishes of-much worth to-appear
προσαιτεῖν ὥσπερ τοὺς πτωχοὺς ἱκετεύοντα καὶ δεόμενον
to-beg like the beggars entreating and asking
προσδοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ.
to-give and these-things for-nothing good

τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος οὐδὲ 30
— and Critias — to-such-things not obeying nor
ἀποτρεπομένου, λέγεται τὸν Σωκράτη ἄλλων τε πολλῶν
being-turned-away it-is-said — Socrates others both many
παρόντων καὶ τοῦ Εὐθυδήμου εἰπεῖν ὅτι ὑικὸν αὐτῷ δοκοίη
being-present and — Euthydemus to-say that swinish to-him seemed
πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνῆσθαι
to-be-affected — Critias desiring against-Euthydemus to-rub-himself
ὥσπερ τὰ ὕδια τοῖς λίθοις.
as the piglets against-the stones
ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτη ὁ Κριτίας, ὥστε 31
from which indeed also hated — Socrates — Critias so-that
καὶ ὅτε τῶν τριάκοντα ὢν νομοθέτης μετὰ Χαρικλέους
also when of-the Thirty being lawgiver with Charicles
ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ καὶ ἐν τοῖς νόμοις
he-became he-remembered(-it) against-him and in the laws
ἔγραψε λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ
he-wrote of-words an-art not to-teach insulting that-one
καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς
and not having where he-might-take-hold but the in-common to-the
φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ
philosophers by the many charged imputing to-him
καὶ διαβάλλων πρὸς τοὺς πολλούς· οὐδὲ γὰρ ἔγωγε οὔτ᾽
and slandering(-him) to the many not-even for I-at-least either
αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα οὔτ᾽ ἄλλου του
myself this ever from-Socrates heard or of-another anyone
φάσκοντος ἀκηκοέναι ᾐσθόμην.]
claiming to-have-heard(-it) perceived
ἐδήλωσε δέ· ἐπεὶ γὰρ οἱ τριάκοντα πολλοὺς μὲν τῶν 32
it-became-clear and since for the Thirty many indeed of-the
πολιτῶν καὶ οὐ τοὺς χειρίστους ἀπέκτεινον, πολλοὺς
citizens and not the worst were-killing many

δὲ προετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης
and they-were-urging-on to-do-wrong said somewhere — Socrates
ὅτι θαυμαστόν οἱ δοκοίη εἶναι, εἴ τις γενόμενος
that wonderful to-him it-seemed to-be if someone having-become
βοῶν ἀγέλης νομεὺς καὶ τὰς βοῦς ἐλάττους τε καὶ
of-cattle of-a-herd herdsman and the cows fewer both and
χείρους ποιῶν μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι, ἔτι
worse making not should-agree a-bad cowherd to-be still
δὲ θαυμαστότερον, εἴ τις προστάτης γενόμενος πόλεως
but more-wonderful if someone leader having-become of-a-city
καὶ ποιῶν τοὺς πολίτας ἐλάττους τε καὶ χείρους μὴ
and making the citizens fewer both and worse not
αἰσχύνεται μηδ' οἴεται κακὸς εἶναι προστάτης τῆς πόλεως.
is-ashamed nor thinks bad to-be leader of-the city

33 ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντε ὅ τε
having-been-reported and to-them this having-called-the-two — both
Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτη τόν τε νόμον
Critias and — Charicles — Socrates the both law
ἐδεικνύτην αὐτῷ καὶ τοῖς νέοις ἀπειπέτην μὴ
the-two-showed to-him and to-the young the-two-forbade(-him) not
διαλέγεσθαι. ὁ δὲ Σωκράτης ἐπήρετο αὐτώ, εἰ ἐξείη
to-converse — but Socrates asked them-two if it-were-permitted
πυνθάνεσθαι, εἴ τι ἀγνοοῖτο τῶν προαγορευομένων.
to-inquire if anything were-not-understood of-the things-proclaimed

34 τὼ δ' ἐφάτην. Ἐγὼ τοίνυν, ἔφη, παρεσκεύασμαι
they-two and said-the-two I then he-said am-prepared
μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι' ἄγνοιαν
indeed to-obey the laws that but not through ignorance
λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς
I-may-escape-notice something transgressing this I-wish clearly
μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς
to-learn from you whether the of-the words art with the

ὀρθῶς λεγομένοις εἶναι νομίζοντες ἢ σὺν τοῖς μὴ ὀρθῶς
rightly said-things being thinking or with the not rightly
ἀπέχεσθαι κελεύετε αὐτῆς. εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς,
to-abstain you-bid from-it if indeed for with the rightly
δῆλον ὅτι ἀφεκτέον ἂν εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ
clear that to-be-abstained-from — would-be the rightly to-speak if but
σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν.
with the not rightly clear that one-must-try rightly to-speak
καὶ ὁ Χαρικλῆς ὀργισθεὶς αὐτῷ· Ἐπειδή, ἔφη, ὦ 35
and — Charicles having-been-angered at-him since he-said O
Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα
Socrates you-are-ignorant these-things to-you easier-to-understand being
προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. καὶ
we-proclaim to-the young at-all not to-converse and
ὁ Σωκράτης· Ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ
— Socrates so-that then he-said not ambiguous it-may-be
[ὡς ἄλλο τι ποιῶ ἢ τὰ προηγορευμένα], ὁρίσατέ
whether other something I-do than the things-proclaimed define
μοι μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους εἶναι τοὺς
for-me up-to how-many years one-must to-consider young to-be the
ἀνθρώπους. καὶ ὁ Χαρικλῆς· Ὅσουπερ, εἶπε, χρόνου
men and — Charicles As-long-as he-said time
βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι· μηδὲ
to-be-councilor not it-is-permitted as not-yet sensible being nor
σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν.
you converse with-younger-than thirty years
Μηδ' ἐάν τι ὠνῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος 36
not-even if something I-buy he-said if sells younger-than
τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου πωλεῖ; Ναὶ τά γε
thirty years am-I-to-ask for-how-much he-sells yes — at-least
τοιαῦτα, ἔφη ὁ Χαρικλῆς· ἀλλά τοι σύγε, ὦ
such-things said — Charicles but you-know you-at-least O

Σώκρατες, εἴωθας εἰδὼς πῶς ἔχει τὰ πλεῖστα ἐρωτᾶν·
Socrates are-accustomed knowing how is the most to-ask
ταῦτα οὖν μὴ ἐρώτα. Μηδ' ἀποκρίνωμαι οὖν, ἔφη, ἄν τίς
these then not ask not-even am-I-to-answer then he-said if someone
με ἐρωτᾷ νέος, ἐὰν εἰδῶ, οἷον ποῦ οἰκεῖ Χαρικλῆς ἢ
me asks young if I-know for-instance where lives Charicles or
ποῦ ἐστι Κριτίας; Ναὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς.
where is Critias yes — at-least such-things said — Charicles
37 ὁ δὲ Κριτίας· Ἀλλὰ τῶνδέ τοί σε ἀπέχεσθαι,
— but Critias but from-these you-know you to-abstain
ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων καὶ τῶν
he-said it-will-be-needful O Socrates the shoemakers and the
τεκτόνων καὶ τῶν χαλκέων· καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη
carpenters and the smiths and for I-think them already
κατατετρῖφθαι διαθρυλουμένους ὑπὸ σοῦ. Οὐκοῦν, ἔφη ὁ
to-be-worn-out being-talked-about by you therefore said —
Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου
Socrates also of-the following these the both just
καὶ τοῦ ὁσίου καὶ τῶν ἄλλων τῶν τοιούτων; Ναὶ μὰ
and the holy and the other — such yes by
Δί', ἔφη ὁ Χαρικλῆς· καὶ τῶν βουκόλων γε· εἰ δὲ μή,
Zeus said — Charicles and of-the cowherds at-least if but not
φυλάττου ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς.
watch-out that not also you fewer the cows make
38 ἔνθα καὶ δῆλον ἐγένετο ὅτι ἀπαγγελθέντος αὐτοῖς τοῦ
whereupon also clear it-became that having-been-reported to-them the
περὶ τῶν βοῶν λόγου ὠργίζοντο τῷ Σωκράτει. Οἷα
about the cows argument they-were-angry — with-Socrates what-sort
μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτη καὶ
indeed then the association had-been for-Critias with Socrates and
ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται.
how they-were toward one-another has-been-told

φαίην δ' ἂν ἔγωγε μηδενὶ μηδεμίαν εἶναι παίδευσιν 39
I-would-say and — I-at-least to-no-one any to-be education
παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης
from the not pleasing Critias and and Alcibiades
οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους ὡμιλησάτην ὃν χρόνον
not pleasing them Socrates the-two-associated the time
ὡμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε
they-two-associated with-him but straightway from beginning having-set-out-the-two
προεστάναι τῆς πόλεως. ἔτι γὰρ Σωκράτει συνόντες
to-lead the city still for with-Socrates being
οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι ἢ τοῖς
not with-other any rather they-tried to-converse than with-the
μάλιστα πράττουσι τὰ πολιτικά.
most managing the political-things
λέγεται γὰρ Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ 40
it-is-said for Alcibiades before twenty years to-be with-Pericles
ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως,
guardian indeed being his leader but of-the city
τοιάδε διαλεχθῆναι περὶ νόμων·
such-things to-have-conversed about laws
Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι 41
tell me to-have-said O Pericles could-you — me to-teach
τί ἐστι νόμος; Πάντως δήπου, φάναι τὸν Περικλέα.
what is law altogether surely to-have-said — Pericles
Δίδαξον δὴ πρὸς τῶν θεῶν, φάναι τὸν Ἀλκιβιάδην·
teach indeed by the gods to-have-said — Alcibiades
ὡς ἐγὼ ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι ἄνδρες
as I hearing some being-praised that law-abiding men
εἰσίν, οἶμαι μὴ ἂν δικαίως τούτου τυχεῖν τοῦ ἐπαίνου
they-are I-think not — justly this to-obtain the praise
τὸν μὴ εἰδότα τί ἐστι νόμος.
the not knowing what is law

42 Ἀλλ᾽ οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη,
but nothing at-all of-a-difficult matter you-desire O Alcibiades
φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι τί ἐστι νόμος·
to-have-said — Pericles wishing to-know what is law
πάντες γὰρ οὗτοι νόμοι εἰσίν, οὓς τὸ πλῆθος συνελθὸν
all for these laws are which the multitude having-come-together
καὶ δοκιμάσαν ἔγραψε, φράζον, ἅ τε δεῖ ποιεῖν καὶ ἃ
and having-approved wrote declaring what both one-must to-do and what
μή. Πότερον δὲ τἀγαθὰ νομίσαν δεῖν ποιεῖν ἢ τὰ κακά;
not whether and the-good-things having-thought one-must to-do or the bad-things
Τἀγαθὰ νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακὰ οὔ.
the-good-things by Zeus to-have-said O lad the but bad-things not
43 Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ᾽, ὥσπερ ὅπου ὀλιγαρχία ἐστίν,
if and not the multitude but as where oligarchy is
ὀλίγοι συνελθόντες γράψωσιν ὅ τι χρὴ ποιεῖν, ταῦτα
few having-come-together write what ever one-must to-do these-things
τί ἐστι; Πάντα, φάναι, ὅσα ἂν τὸ κρατοῦν τῆς πόλεως
what is-it all-things to-have-said as-many-as — the ruling of-the city
βουλευσάμενον, ἃ χρὴ ποιεῖν, γράψῃ, νόμος καλεῖται.
having-deliberated what one-must to-do writes law is-called
Κἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις,
even-if a-tyrant then ruling the city writes for-the citizens
ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα
what one-must to-do also these-things law is and as-many-as
τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται.
a-tyrant ruling to-have-said writes also these-things law is-called
44 Βία δέ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ᾽ οὐχ
violence and to-have-said and lawlessness what is-it O Pericles then not
ὅταν ὁ κρείττων τὸν ἥττω μὴ πείσας, ἀλλὰ βιασάμενος,
when the stronger the weaker not having-persuaded but having-used-force
ἀναγκάσῃ ποιεῖν ὅ τι ἂν αὐτῷ δοκῇ; Ἔμοιγε δοκεῖ,
compels to-do what ever — to-him seems to-me-at-least it-seems

φάναι τὸν Περικλέα. Καὶ ὅσα ἄρα τύραννος μὴ
to-have-said — Pericles and as-many-as then a-tyrant not
πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία
having-persuaded the citizens compels to-do writing lawlessness
ἐστί; Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι γὰρ
is it-seems to-me to-have-said — Pericles I-retract for
τό, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι.
the as-many-as a-tyrant not having-persuaded writes law to-be
Ὅσα δὲ οἱ ὀλίγοι τοὺς πολλοὺς μὴ πείσαντες, ἀλλὰ 45
as-many-as and the few the many not having-persuaded but
κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν ἢ μὴ
ruling write whether violence are-we-to-say or not
φῶμεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα,
are-we-to-say to-be all to-me seems to-have-said — Pericles
ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε
as-many-as someone not having-persuaded compels someone to-do whether
γράφων εἴτε μή, βία μᾶλλον ἢ νόμος εἶναι. Καὶ ὅσα
Socrates finds his eldest son, Lamprocles, angry with his mother. Ingratitude is injustice, and no one owes more than children owe parents, who gave them life, nursed them through pain, and educated them. Lamprocles says her temper is unbearable; Socrates answers that her words mean him well, that the city punishes neglect of parents, and that he should ask the gods' pardon and serve her, or no one will befriend him.

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν 1
having-perceived and once Lamprocles the eldest son
αὐτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα· Εἰπέ μοι, ἔφη, ὦ
of-him with the mother being-angry tell me he-said O
παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους;
boy do-you-know any men ungrateful called
Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς
yes very said the young-man have-you-learned then those
τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγ', ἔφη·
what doing the name this they-call I-at-least he-said
τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι
those for well treated when being-able gratitude to-repay
μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. Οὐκοῦν δοκοῦσί σοι
not they-repay ungrateful they-call therefore seem to-you
ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους;
among the unjust to-be-reckoned the ungrateful
Ἔμοιγε, ἔφη. Ἤδη δέ ποτ' ἐσκέψω εἰ ἄρα, ὥσπερ 2
to-me-at-least he-said already and ever did-you-consider whether then as
τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ,
the to-enslave the indeed friends unjust to-be seems
τοὺς δὲ πολεμίους δίκαιον, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς
the but enemies just so also the to-be-ungrateful toward
μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους
indeed the friends unjust is toward but the enemies

δίκαιον; Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις
just yes very he-said and it-seems to-me by whom — anyone
εὖ παθὼν εἴτε φίλου εἴτε πολεμίου μὴ πειρᾶται χάριν
well treated whether friend or enemy not tries gratitude
ἀποδιδόναι, ἄδικος εἶναι.
to-repay unjust to-be

3 Οὐκοῦν, εἴ γ' οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη
therefore if at-least so is this unmixed some — would-be
ἀδικία ἡ ἀχαριστία; συνωμολόγει. Οὐκοῦν ὅσῳ ἄν
injustice the ingratitude he-agreed therefore by-as-much-as —
τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ
anyone greater good-things having-received not repays gratitude by-so-much
ἀδικώτερος ἂν εἴη; συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη,
more-unjust — would-he-be he-agreed also this whom then he-said
ὑπὸ τίνων εὕροιμεν ἂν μείζω εὐεργετημένους ἢ παῖδας ὑπὸ
by whom could-we-find — greater benefited than children by
γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι,
parents whom the parents from indeed not being made to-be
τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν,
so-many and fine-things to-see and of-so-many good-things to-share
ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ
as-many-as the gods provide to-the men which indeed also
οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ
so to-us seem of-everything worth to-be that all the
καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν καὶ αἱ πόλεις
to-leave them of-all-things most we-flee and the cities
ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν
for the greatest crimes penalty death have-made
ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσαντες.
as not — of-greater evil by-fear the injustice stopping

καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι 4
and indeed not the at-least of-sexual-pleasures for-the-sake to-beget-children
τοὺς ἀνθρώπους ὑπολαμβάνεις, ἐπεὶ τούτου γε τῶν
the men you-suppose since for-this at-least of-the-things
ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα.
that-will-relieve full indeed the streets full and the brothels
φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι, ἐξ ὁποίων ἂν γυναικῶν
evident and we-are also considering from what-sort — women
βέλτιστα ἡμῖν τέκνα γένοιτο· αἷς συνελθόντες
best for-us children might-be-born with-whom having-come-together
τεκνοποιούμεθα.
we-beget-children
καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιήσουσαν 5
and the indeed at-least husband the both one-who-will-bear-children-together
ἑαυτῷ τρέφει καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ
with-himself supports and for-the being-about to-be children
προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν
prepares-beforehand all-things as-many-as — he-thinks will-help
αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα·
them toward the life and these-things as — he-can most
ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο,
the and wife having-conceived both bears the burden this
βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου καὶ
weighed-down both and being-in-danger about the life and
μεταδιδοῦσα τῆς τροφῆς ᾗ καὶ αὐτὴ τρέφεται, καὶ
giving-a-share of-the nourishment by-which also herself is-nourished and
σὺν πολλῷ πόνῳ διενεγκοῦσα καὶ τεκοῦσα τρέφει
with much toil having-carried-it-through and having-given-birth nurtures
τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν οὔτε
both and cares-for neither having-first-received any good nor
γιγνῶσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν
knowing the infant by whom well it-is-treated nor to-signify

δυνάμενον ὅτου δεῖται, ἀλλ᾽ αὐτὴ στοχαζομένη τά τε
able what it-needs but herself guessing the-things both
συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ
beneficial and the pleasing tries to-fulfill and
τρέφει πολὺν χρόνον καὶ ἡμέρας καὶ νυκτὸς ὑπομένουσα
nurtures much time both by-day and by-night enduring
πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται.
to-toil not knowing what for-these-things gratitude she-will-receive
6 καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καί, ἐπειδὰν δόξωσιν
and not it-suffices to-nurture only but also when they-seem
ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ
capable to-be the children to-learn something what indeed — themselves
ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν, ἃ δ᾽
have the parents good-things for the life they-teach what but
ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς
— they-think another more-capable to-be to-teach they-send to
τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες
this-one spending and they-take-care all-things doing
ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.
so-that the children for-them may-become as possible best
7 πρὸς ταῦτα ὁ νεανίσκος εἶπεν· Ἀλλά τοι εἰ καὶ πάντα
to these-things the young-man said but surely if even all
ταῦτα πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν
these-things she-has-done and other than-these many-times-more no-one —
δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. καὶ ὁ Σωκράτης·
could of-her endure the harshness and — Socrates
Πότερα δέ, ἔφη, οἴει θηρίου ἀγριότητα δυσφορωτέραν
whether and he-said do-you-think of-a-beast savagery harder-to-bear
εἶναι ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη, μητρὸς τῆς γε
to-be or of-a-mother I indeed think he-said of-a-mother — at-least

τοιαύτης. Ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι
such already ever then either biting harm any to-you
ἔδωκεν ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον;
did-she-give or kicking such-as from beasts already many have-suffered
Ἀλλὰ νὴ Δία, ἔφη, λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ 8
but by Zeus he-said she-says what not — anyone for the
βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. Σὺ δὲ πόσα, ἔφη ὁ
life whole would-wish to-hear you and how-many-things said —
Σωκράτης, οἴει ταύτῃ [δυσάνεκτα] καὶ τῇ φωνῇ
Socrates do-you-think to-her hard-to-bear both with-the voice
καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ
and with-the deeds from childhood being-peevish both by-day and
νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι
by-night troubles to-have-given how-many-things and to-have-grieved
κάμνων; Ἀλλ᾽ οὐδεπώποτε αὐτήν, ἔφη, οὔτ᾽ εἶπα οὔτ᾽
being-sick but never her he-said neither I-said nor
ἐποίησα οὐδὲν ἐφ᾽ ᾧ ᾐσχύνθη.
did anything at which she-was-ashamed
Τί δ᾽; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν 9
what and do-you-think he-said harder to-be for-you to-hear
ὧν αὕτη λέγει ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς
the-things-which she says or for-the actors when in the
τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέγωσιν; Ἀλλ᾽, οἶμαι,
tragedies to-one-another the extreme-things they-say but I-think
ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα
since not they-think of-those speaking either the one-refuting
ἐλέγχειν ἵνα ζημιώσῃ οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν ἵνα
to-refute so-that he-may-punish or the one-threatening to-threaten so-that
κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. Σὺ δ᾽ εὖ εἰδώς, ὅτι ἃ
harm any he-may-do easily they-bear you but well knowing that what
λέγει σοι ἡ μήτηρ οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει,
says to-you the mother not only no harm intending she-says

ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι ὅσα οὐδενὶ ἄλλῳ,
but even wishing for-you good-things to-be as-many-as to-no other
χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι;
are-you-angry or do-you-think ill-disposed the mother to-you to-be
10 Οὐ δῆτα, ἔφη· τοῦτό γε οὐκ οἶμαι. καὶ ὁ Σωκράτης·
not indeed he-said this at-least not I-think and — Socrates
Οὐκοῦν, ἔφη, σὺ ταύτην, εὔνουν τέ σοι οὖσαν καὶ
therefore he-said you her well-disposed both to-you being and
ἐπιμελομένην ὡς μάλιστα δύναται κάμνοντος ὅπως
caring as most she-can when-you-are-sick so-that
ὑγιάνῃς τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς
you-may-be-healthy both and so-that of-the necessities of-nothing in-want
ἔσει, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην
you-will-be and in-addition-to these many-things to-the gods praying
[ἀγαθὰ] ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν
good-things on-behalf-of you and vows paying harsh
εἶναι φήις; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν
to-be you-say I indeed think if such not you-can bear
μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν.
a-mother the-good-things you not to-be-able to-bear
11 εἰπὲ δέ μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν
tell and me he-said whether other anyone do-you-think it-is-needful
θεραπεύειν; ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι
to-serve or are-you-prepared to-no-one of-men to-try
ἀρέσκειν μηδὲ πείθεσθαι μήτε στρατηγῷ μήτε ἄλλῳ
to-please nor to-obey neither general nor other
ἄρχοντι;
ruler
12 Ναὶ μὰ Δί᾽ ἔγωγε, ἔφη. Οὐκοῦν, ἔφη ὁ Σωκράτης,
yes by Zeus I-at-least he-said therefore said — Socrates
καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ
also the neighbor do-you-wish you to-please so-that for-you both fire

ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται
he-may-kindle when of-this you-need and in-good both to-you he-may-be
συλλήπτωρ κἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς
helper and-if at-all stumbling you-happen kindly
ἐγγύθεν βοηθῇ σοι; Ἔγωγε, ἔφη. Τί δέ; συνοδοιπόρον
from-near-by he-may-help you I-at-least he-said what and a-fellow-traveler
ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι
or a-fellow-voyager or if anyone other you-should-meet nothing — to-you
διαφέροι φίλον· ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ
would-it-matter a-friend or an-enemy to-become or also of-the from
τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι;
these goodwill do-you-think it-is-needful to-take-care
Ἔγωγε, ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, 13
I-at-least he-said then of-these indeed to-take-care you-are-prepared
τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ
the but mother the of-all most you loving not
οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθ' ὅτι καὶ ἡ πόλις
you-think it-is-needful to-serve not you-know that also the city
ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται οὐδὲ δικάζει,
of-other indeed ingratitude none takes-care nor tries
ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας,
but overlooks those well treated gratitude not repaying
ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε
if but someone parents not he-serve on-this-man penalty both
ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον,
imposes and rejecting-at-scrutiny not allows to-hold-office this-man
ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς
as neither — the sacrifices piously offered on-behalf-of the
πόλεως τούτου θύοντος οὔτε ἄλλο καλῶς καὶ δικαίως
city this-man sacrificing nor other-thing finely and justly
οὐδὲν ἂν τούτου πράξαντος; καὶ νὴ Δία ἐάν τις τῶν
nothing — this-man having-done and by Zeus if someone of-the

γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο
parents having-died the tombs not adorns also this
ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις.
examines the city in the of-the officials scrutinies
14 σὺ οὖν, ὦ παῖ, ἐὰν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσει
you then O boy if you-are-wise the indeed gods you-will-beg
συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός,
forgiving to-you to-be if anything you-have-neglected of-the mother
μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθελήσωσιν
lest you also these thinking ungrateful to-be not be-willing
εὖ ποιεῖν, τοὺς δὲ ἀνθρώπους φυλάξει μή σε
well to-treat the and men you-will-guard-against lest you
αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν,
perceiving the parents neglecting all dishonor
εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν
then in solitude of-friends you-appear if for you they-should-suppose
πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ
toward the parents ungrateful to-be no-one — would-think well
σε ποιήσας χάριν ἀπολήψεσθαι.
you having-treated gratitude to-receive

III · TWO QUARRELING BROTHERS

Socrates urges Chaerecrates to make peace with his brother Chaerephon. A brother is worth more than money, and men who buy slaves and seek friends as helpers neglect the brother nature gave them. Chaerecrates says his brother only vexes him; Socrates answers that he knows how to win others by doing them favors and should begin first with his brother, since brothers, like hands and feet, are made to help each other.

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτη, ἀδελφὼ μὲν ὄντε 1
Chaerephon and once and Chaerecrates two-brothers indeed being
ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω,
of-each-other to-himself and both-known having-perceived quarreling
ἰδὼν τὸν Χαιρεκράτη· Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες,
having-seen — Chaerecrates tell me he-said O Chaerecrates
οὐ δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ
not surely also you are — of-such men who
χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς; καὶ ταῦτα
more-useful think money than brothers and this
τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου, καὶ τῶν μὲν
the indeed senseless being the but sensible and the indeed
βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου, καὶ πρὸς
help needing the but to-help able and in-addition-to
τούτοις τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός.
these the indeed more being the but one
θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς 2
marvelous and also this if someone the indeed brothers
ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται,
a-loss considers because not also the-things of-the brothers he-possesses
τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ
the but citizens not considers a-loss because not also
τὰ τῶν πολιτῶν ἔχει· ἀλλ᾽ ἐνταῦθα μὲν δύνανται
the-things of-the citizens he-has but there indeed they-are-able
λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς
to-reckon that better with many dwelling safely
τἀρκοῦντα ἔχειν ἢ μόνον διαιτώμενον τὰ τῶν
sufficiency to-have than alone living the-things of-the
πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι, ἐπὶ δὲ τῶν
citizens dangerously all to-possess in-the-case and of-the
ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι·
brothers the same this they-do-not-know

3 καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς
and servants indeed those able buy so-that fellow-workers
ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι,
they-may-have and friends acquire as helpers needing
τῶν δ' ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν
the but brothers they-neglect as-if from citizens indeed
γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους.
becoming friends from brothers but not becoming
4 καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν
and indeed toward friendship great indeed is the from the same(-parents)
φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις
to-be-born great and the together to-be-raised since even in-the beasts
πόθος τις ἐγγίγνεται τῶν συντρόφων· πρὸς δὲ τούτοις
longing a-certain arises for-those reared-together in-addition and to-these
καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους
also the other men honor both more those having-brothers
ὄντας τῶν ἀναδέλφων καὶ ἧττον τούτοις ἐπιτίθενται.
being than-those without-brothers and less these they-attack
5 καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ' εἰ μέν, ὦ Σώκρατες, μὴ
and — Chaerecrates said but if indeed O Socrates not
μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν
great were the quarrel perhaps — it-would-be-needful to-bear the
ἀδελφὸν καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γάρ,
brother and not for-small-things for-the-sake to-shun good for
ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς ὢν οἷον δεῖ· ὁπότε
as also you say a-brother being such-as he-should whenever
μέντοι παντὸς ἐνδέοι καὶ πᾶν τὸ ἐναντιώτατον εἴη,
however of-everything he-falls-short and all the most-contrary is
τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις;
what — anyone would-undertake the impossible-things

καὶ ὁ Σωκράτης ἔφη, Πότερα δέ, ὦ Χαιρέκρατες, οὐδενὶ 6
and — Socrates said whether and O Chaerecrates no-one
ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν
to-please can Chaerephon as not-even you or there-are
οἷς καὶ πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ
whom even very he-pleases because-of this for surely he-said O
Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτόν, ὅτι ἄλλοις
Socrates right it-is for-me to-hate him because others
μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ ὅπου ἂν παρῇ πανταχοῦ
indeed to-please he-is-able to-me but wherever — he-is-present everywhere
καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν.
both by-deed and by-word loss rather than benefit he-is
Ἆρ' οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι 7
so then said — Socrates as a-horse to-the ignorant
μέν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ
indeed attempting but to-use a-loss is so also
ἀδελφός, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ
a-brother whenever someone him not knowing-how attempts
χρῆσθαι, ζημία ἐστί;
to-use a-loss is
Πῶς δ' ἂν ἐγώ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην 8
how and — I said — Chaerecrates ignorant could-be
ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ
a-brother to-use knowing-how at-least both well to-speak to-him well
λέγοντα καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ
speaking and well to-do to-him well doing him however both
λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην
by-word and by-deed trying me to-vex not — I-could
οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι.
either well to-speak or well to-do but not-even shall-I-try

9 καὶ ὁ Σωκράτης ἔφη· Θαυμαστά γε λέγεις, ὦ
and — Socrates said Marvelous-things at-least you-say O
Χαιρέκρατες, εἰ κύνα μέν, εἴ σοι ἦν ἐπὶ προβάτοις
Chaerecrates if a-dog indeed if to-you there-were over sheep
ἐπιτήδειος ὢν καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ
fit being and the indeed shepherds he-greeted you
δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι
but approaching he-snarled-at having-neglected — the to-be-angry
ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτόν, τὸν δὲ ἀδελφὸν
you-would-try well having-treated to-tame him the but brother
φὴς μὲν μέγα ἀγαθὸν εἶναι ὄντα πρὸς σὲ οἷον δεῖ,
you-say indeed great good to-be being toward you such-as he-should
ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν οὐκ
to-know-how and agreeing both well to-do and well to-speak not
ἐπιχειρεῖς μηχανᾶσθαι ὅπως σοι ὡς βέλτιστος ᾖ.
you-attempt to-contrive how for-you as best he-may-be
10 καὶ ὁ Χαιρεκράτης· Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ
and — Chaerecrates I-fear he-said O Socrates lest not
ἔχω ἐγὼ τοσαύτην σοφίαν ὥστε Χαιρεφῶντα ποιῆσαι
I-have I so-much wisdom as Chaerephon to-make
πρὸς ἐμὲ οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον,
toward me such-as he-should and indeed nothing at-least intricate
ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτόν, ὡς ἐμοὶ
said — Socrates nor novel is-needed upon him as to-me
δοκεῖ, μηχανᾶσθαι, οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς
seems to-contrive by-what-things but also you know-how yourself
οἶομαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε.
I-think — him caught of much to-make you
11 Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί
not — you-would-be-too-quick he-said saying if anything you-have-perceived
με φίλτρον ἐπιστάμενον ὃ ἐγὼ εἰδὼς λέληθα
me a-love-charm knowing which I knowing have-escaped-the-notice-of

ἐμαυτόν. Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων
myself tell indeed me he-said if any of-the acquaintances
βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ
you-wished to-induce whenever he-sacrificed to-invite you to
δεῖπνον, τί ἂν ποιοίης; Δῆλον ὅτι κατάρχοιμ' ἂν τοῦ
dinner what — would-you-do clear that I-would-begin — the
αὐτός, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον.
myself when I-sacrificed to-invite him
Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε 12
if and you-wished of-the friends someone to-urge whenever
ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης;
you-went-abroad to-take-care — of-yours what — would-you-do
Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν
clear that first — I-would-undertake to-take-care —
ἐκείνου, ὁπότε ἀποδημοίη.
of-his whenever he-went-abroad
Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτόν, ὁπότε 13
if and you-wished a-stranger to-make to-receive yourself whenever
ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ
you-came to — his what — would-you-do clear that also
τοῦτον πρότερος ὑποδεχοίμην ἄν, ὁπότε ἔλθοι Ἀθήναζε·
this-one first I-would-receive — when he-came to-Athens
καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι διαπράττειν
and if at-least I-wished him to-be-eager to-accomplish
μοι ἐφ' ἃ ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι
for-me the-things-for which I-came clear that also this it-would-be-needful
ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν.
— first myself for-him to-do
Πάντ' ἄρα σύγε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος 14
all then you-at-least the among men love-charms knowing
πάλαι ἀπεκρύπτου· ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς
long-ago did-you-conceal or do-you-hesitate he-said to-begin lest base

φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν
you-appear if first the brother well you-treat and indeed
πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν
of-most at-least seems a-man of-praise worthy to-be who —
φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους
anticipates the indeed enemies ill treating the but friends
εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος
benefiting if indeed then seemed to-me Chaerephon more-fit-to-lead
εἶναι σοῦ πρὸς τὴν φιλίαν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην
to-be than-you toward the friendship this him — I-would-try
πείθειν πρότερον ἐγχειρεῖν τῷ σὲ φίλον ποιεῖσθαι· νῦν δέ
to-persuade first to-undertake the you a-friend to-make now but
μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο.
to-me you seem leading rather — to-accomplish this
15 καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἄτοπα λέγεις, ὦ Σώκρατες,
and — Chaerecrates said strange-things you-say O Socrates
καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον
and in-no-way like you who at-least bid me younger
ὄντα καθηγεῖσθαι· καίτοι τούτου γε παρὰ πᾶσιν
being to-lead and-yet of-this at-least among all
ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι
men the-opposite is-held the elder to-lead
παντὸς καὶ λόγου καὶ ἔργου.
in-every both word and deed
16 Πῶς; ἔφη ὁ Σωκράτης· οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι
how said — Socrates not for also of-the-road to-give-way
τὸν νεώτερον πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ
the younger to-an-elder meeting everywhere
νομίζεται καὶ καθήμενον ὑπαναστῆναι καὶ κοίτῃ μαλακῇ
is-held and sitting to-rise-up and with-a-bed soft
τιμῆσαι καὶ λόγων ὑπεῖξαι; ὠγαθέ, μὴ ὄκνει, ἔφη, ἀλλ’
to-honor and of-words to-yield good-sir not hesitate he-said but

ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πάνυ ταχύ σοι
undertake the man to-soothe and very quickly to-you
ὑπακούσεται· οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος;
he-will-respond not you-see how ambitious he-is and liberal
τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον
the indeed for base mannikins not — otherwise rather
ἕλοις ἢ εἰ δοίης τι, τοὺς δὲ καλοὺς κἀγαθοὺς
you-could-win than if you-gave something the but fine and-good
ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο.
men affectionately treating most — you-could-win-over
καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦντος 17
and — Chaerecrates said if then me these-things doing
ἐκεῖνος μηδὲν βελτίων γίγνηται; Τί γὰρ ἄλλο, ἔφη ὁ
he nothing better becomes what for other said —
Σωκράτης, ἢ κινδυνεύσεις ἐπιδεῖξαι σὺ μὲν χρηστός
Socrates than you-will-risk to-show you indeed good
τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ
both and loving-your-brother to-be he but base both and not
ἄξιος εὐεργεσίας; ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι· νομίζω
worthy of-kindness but nothing I-think of-these will-be I-believe
γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον ἑαυτὸν εἰς
for him when he-perceives you challenging himself into
τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονικήσειν ὅπως περιγένηταί
the contest this very to-be-eager-to-win so-that he-may-surpass
σου καὶ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν.
you both in-word and in-deed well doing
νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ εἰ τὼ 18
now indeed for so he-said you-two-are-disposed as if the
χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλοιν ἐποίησεν,
two-hands which the god for the to-help each-other made
ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω, ἢ
having-let-go of-this should-turn to the to-hinder each-other or

εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν
if the two-feet by-divine dispensation made for the to-work-together
ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω·
each-other having-neglected this should-impede each-other
19 οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς
not — great ignorance would-it-be and misfortune the-things
ἐπ᾽ ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; καὶ μὴν
for benefit made for harm to-use and indeed
ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι
two-brothers at-least as to-me it-seems the god made for greater
ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ
benefit to-each-other than two-hands both and two-feet and two-eyes
καὶ τἆλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες
and the-other-things as-many-as as-pairs he-produced for-men hands
μὲν γάρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς
indeed for if it-were-needful them the-things more than-a-fathom
διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ᾽
apart at-once to-do not — could feet and not-even
ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα, ὀφθαλμοὶ δὲ
— to the-things a-fathom apart could-go at-once eyes and
οἱ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι οὐδ᾽ ἂν τῶν
those seeming to farthest to-reach not-even — of-the-things
ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ
still nearer being the-things in-front at-once and the-things
ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ
behind to-see could two-brothers but friends being even far
διεστῶτε πράττετον ἅμα ἐπ᾽ ὠφελείᾳ ἀλλήλοιν.
apart act at-once for benefit of-each-other

IV · THE WORTH OF FRIENDS

Socrates often said that a good friend is the best of possessions, yet most men care for houses, slaves, and flocks and neglect their friends: they nurse sick slaves but not sick friends, and cannot count their friends. A good friend stands in for whatever is lacking, helps in private and public affairs, rejoices with us and sets us right, serving as hands, eyes, ears, and feet.

Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου ἐξ 1
I-heard and once him also about friends conversing from
ὧν ἔμοιγε ἐδόκει μάλιστ᾽ ἄν τις ὠφελεῖσθαι πρὸς
which to-me-at-least it-seemed most — anyone would-be-benefited toward
φίλων κτῆσίν τε καὶ χρείαν. τοῦτο μὲν γὰρ δὴ πολλῶν
of-friends acquisition both and use this indeed for indeed from-many
ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον [ἂν]
he-said to-hear that of-all possessions best —
εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελομένους δὲ παντὸς
would-be a-friend sure and good taking-care but of-everything
μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως.
rather to-see he-said the many than of-friends acquisition
καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ 2
and for houses and fields and slaves and flocks and
σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη καὶ τὰ ὄντα
furniture acquiring both carefully to-see he-said and the existing-things
σῴζειν πειρωμένους, φίλον δέ, ὃ μέγιστον ἀγαθὸν εἶναί
to-preserve trying a-friend but which greatest good to-be
φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσωνται
they-say to-see he-said the many neither how they-may-acquire
φροντίζοντας οὔτε ὅπως οἱ ὄντες αὐτοῖς σῴζωνται.
taking-thought nor how the existing for-them may-be-preserved

3 ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν ὁρᾶν τινας ἔφη
but also being-sick friends both and servants to-see some he-said
τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας καὶ τἆλλα
for-the indeed servants even doctors bringing-in and the-other-things
τὰ πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων
the for health carefully providing the but friends
ὀλιγωροῦντας, ἀποθανόντων τε ἀμφοτέρων ἐπὶ μὲν τοῖς
neglecting having-died and both for indeed the
οἰκέταις ἀχθομένους τε καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς
servants grieving both and loss considering for but the
φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι, καὶ τῶν μὲν ἄλλων
friends nothing thinking to-be-diminished and of-the indeed other
κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον οὐδ' ἀνεπίσκεπτον,
possessions none leaving untended nor unvisited
τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας.
the but friends care needing neglecting

4 ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν
further and in-addition-to these to-see he-said the many of-the indeed
ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων τὸ πλῆθος
other possessions even very many to-them being the number
εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος
knowing of-the but friends few being not only the number
ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν
not-knowing but even to-those inquiring this to-list
ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους
having-undertaken whom among the friends they-placed again these
ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν.
to-retract so-much they of-the friends to-take-thought

5 καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος
and-yet against what-sort-of possession of-the others compared
φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος
a-friend good not — by-much better would-appear what-sort-of

γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον ὥσπερ ὁ
for horse or what-sort-of yoke so useful as the
χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ
good friend what-sort-of and slave so well-disposed and
παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον;
constant or what-sort-of other possession so all-useful
ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον 6
the for good friend himself sets for every the deficiency
τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῶν
to-the friend both of-the of-the private provision and of-the
κοινῶν πράξεων, κἄν τέ τινα εὖ ποιῆσαι δέῃ,
public actions and-if both someone well to-treat it-be-needful
συνεπισχύει, ἐάν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, τὰ
he-helps-strengthen if and any fear troubles he-helps-rescue partly
μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν
indeed spending-with partly and acting-with and partly indeed
συμπείθων, τὰ δὲ βιαζόμενος, καὶ εὖ μὲν πράττοντας
persuading-with partly and compelling and well indeed faring
πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν.
most cheering stumbling but most setting-right
ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι καὶ οἱ ὀφθαλμοὶ 7
what and the both hands for-each serve and the eyes
προορῶσι καὶ τὰ ὦτα προακούουσι καὶ οἱ πόδες
foresee and the ears forehear and the feet
διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται·
accomplish in-these a-friend benefiting in-nothing falls-short
πολλάκις δὲ ἃ πρὸ αὑτοῦ τις ἢ οὐκ ἐξειργάσατο
often and what for himself someone either not accomplished
ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διήνυσε, ταῦθ' ὁ
or not saw or not heard or not achieved these-things the
φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν. ἀλλ' ὅμως ἔνιοι δένδρα
friend for the friend sufficed but nevertheless some trees

μὲν πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν, τοῦ δὲ
indeed try to-tend of-the fruit for-the-sake-of the but
παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ
most-productive possession which is-called friend idly and
ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.
carelessly the most take-care

V · WHAT IS A FRIEND WORTH?

Seeing a companion neglect a friend in poverty, Socrates asks Antisthenes whether friends, like slaves, have a price. Antisthenes would value one friend above two minas and another not even at a half-mina. Each man should then ask what he is worth to his friends and try to be worth as much as possible, so that they will be less ready to betray him.

1 Ἤκουσα δέ ποτε καὶ ἄλλον αὐτοῦ λόγον, ὃς ἐδόκει μοι
I-heard and once also another of-him discourse which seemed to-me
προτρέπειν τὸν ἀκούοντα ἐξετάζειν ἑαυτὸν ὁπόσου τοῖς
to-urge the hearer to-examine himself of-how-much to-the
φίλοις ἄξιος εἴη. ἰδὼν γάρ τινα τῶν συνόντων
friends worth he-might-be having-seen for someone of-the associates
ἀμελοῦντα φίλου πενίᾳ πιεζομένου, ἤρετο Ἀντισθένη
neglecting a-friend by-poverty pressed he-asked Antisthenes
ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ καὶ ἄλλων πολλῶν·
in-the-presence of-the neglecting-one himself and of-others many
2 Ἆρ', ἔφη, ὦ Ἀντίσθενες, εἰσί τινες ἀξίαι φίλων, ὥσπερ
then he-said O Antisthenes are-there any values of-friends as
οἰκετῶν; τῶν γὰρ οἰκετῶν ὁ μέν που δυοῖν μναῖν
of-servants of-the for servants the-one indeed perhaps of-two minas
ἄξιός ἐστιν, ὁ δὲ [οὐδ'] ἡμιμναίου, ὁ δὲ πέντε
worth is the-other and not-even of-a-half-mina another and of-five

μνῶν, ὁ δὲ καὶ δέκα· Νικίας δὲ ὁ Νικηράτου λέγεται
minas another and even ten Nicias and the son-of-Niceratus is-said
ἐπιστάτην εἰς τἀργύρεια πρίασθαι ταλάντου· σκοποῦμαι
an-overseer for the-silver-mines to-have-bought for-a-talent I-consider
δὴ τοῦτο, ἔφη, εἰ ἄρα, ὥσπερ τῶν οἰκετῶν, οὕτω
indeed this he-said whether then as of-the servants so
καὶ τῶν φίλων εἰσὶν ἀξίαι.
also of-the friends there-are values
Ναὶ μὰ Δί᾽, ἔφη ὁ Ἀντισθένης· ἐγὼ γοῦν βουλοίμην 3
yes by Zeus said — Antisthenes I at-any-rate would-wish
ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον ἢ δύο μνᾶς,
— the indeed one a-friend to-me to-be rather than two minas
τὸν δ᾽ οὐδ᾽ ἂν ἡμιμναίου προτιμησαίμην, τὸν δὲ καὶ
the and not-even — over-a-half-mina would-I-value the and even
πρὸ δέκα μνῶν ἑλοίμην ἄν, τὸν δὲ [πρὸ] πάντων
before ten minas I-would-choose — the and before all
χρημάτων καὶ πόνων πριαίμην ἂν φίλον μοι εἶναι.
money and toils I-would-buy — a-friend to-me to-be
Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα τοιαῦτά ἐστι, 4
therefore said — Socrates if at-least these-things such are
καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτόν, πόσου ἄρα
well — it-would-be to-examine each himself of-how-much then
τυγχάνει τοῖς φίλοις ἄξιος ὤν, καὶ πειρᾶσθαι ὡς πλείστου
he-happens to-the friends worth being and to-try as of-most
ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προδιδῶσιν. ἐγὼ
worth to-be so-that less him the friends may-betray I
γάρ τοι, ἔφη, πολλάκις ἀκούων τοῦ μὲν ὅτι προύδωκεν
for surely he-said often hearing of-one indeed that betrayed
αὐτὸν φίλος ἀνήρ, τοῦ δ᾽ ὅτι μνᾶν ἀνθ᾽ ἑαυτοῦ
him a-friend man of-another but that a-mina instead-of himself
μᾶλλον εἵλετο ἀνήρ,
rather chose a-man

5 ὃν ᾤετο φίλον εἶναι, καὶ τὰ τοιαῦτα πάντα, σκοπῶ,
whom he-thought a-friend to-be and — such-things all I-consider
μή, ὥσπερ † ὅταν τις οἰκέτην πονηρὸν πωλῇ καὶ
lest as (corrupt) whenever someone a-servant bad sells and
ἀποδῶται τοῦ εὑρόντος, οὕτω καὶ τὸν πονηρὸν φίλον,
gives-up for-what it-fetches so also the bad friend
ὅταν ἐξῇ τὸ πλέον τῆς ἀξίας λαβεῖν, ἐπαγωγὸν
whenever it-is-possible the more than-the value to-get tempting
ᾖ ἀποδίδοσθαι· τοὺς δὲ χρηστοὺς οὔτε οἰκέτας πάνυ
it-be to-sell the but good neither servants very
τι πωλουμένους ὁρῶ οὔτε φίλους προδιδομένους.
at-all being-sold I-see nor friends being-betrayed

VI · TESTING AND WINNING FRIENDS

Socrates tells Critobulus to choose a friend who masters his appetites, is easy to live with and to deal with, and returns benefits, and to judge him by his past dealings, as a sculptor is judged by his statues. Friends are won not by force but by kindness and the incantations of praise, which work only on the good. Bad men cannot be friends, yet good men too quarrel; virtue still joins them. Socrates offers to help Critobulus hunt for good friends, praising him truly.

1 Ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους ὁποίους
he-seemed and to-me also toward the to-test friends what-sort
ἄξιον κτᾶσθαι φρενοῦν τοιάδε λέγων· Εἰπέ μοι, ἔφη, ὦ
worth to-acquire to-instruct such-things saying tell me he-said O
Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροίημεν
Critobulus if we-needed a-friend good how — would-we-undertake
σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε
to-consider then first indeed must-we-seek whoever masters belly both
καὶ φιλοποσίας καὶ λαγνείας καὶ ὕπνου καὶ ἀργίας; ὁ γὰρ
and love-of-drink and lust and sleep and idleness he for

ὑπὸ τούτων κρατούμενος οὔτ᾽ αὐτὸς ἑαυτῷ δύναιτ᾽ ἂν οὔτε
by these mastered neither himself for-himself could — nor
φίλῳ τὰ δέοντα πράττειν. Μὰ Δί᾽ οὐ δῆτα, ἔφη. Οὐκοῦν
for-a-friend the needful-things to-do by Zeus not indeed he-said therefore
τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι;
from-the indeed by these ruled must-keep-away seems to-you to-be
Πάνυ μὲν οὖν, ἔφη. Τί γάρ; ἔφη, ὅστις δαπανηρὸς 2
certainly indeed then he-said what for he-said whoever extravagant
ὢν μὴ αὐτάρκης ἐστίν, ἀλλ᾽ ἀεὶ τῶν πλησίον δεῖται,
being not self-sufficient is but always of-the neighbors needs
καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων
and receiving indeed not can to-repay not receiving
δὲ τὸν μὴ διδόντα μισεῖ, οὐ δοκεῖ σοι καὶ οὗτος
and the-one not giving hates not seems to-you also this-one
χαλεπὸς φίλος εἶναι; Πάνυ γ᾽, ἔφη. Οὐκοῦν ἀφεκτέον
difficult friend to-be certainly at-least he-said therefore must-keep-away
καὶ τούτου; Ἀφεκτέον μέντοι, ἔφη.
also from-this-one must-keep-away certainly he-said
Τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ 3
what for whoever to-make-money indeed can much but
χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσσύμβολός ἐστι, καὶ
money desires and because-of this hard-to-deal-with is and
λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ μὴ βούλεται; Ἐμοὶ
receiving indeed is-pleased to-repay but not wishes to-me
μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι.
indeed seems he-said this-one still worse than-that-one to-be
Τί δ᾽; ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ 4
what and whoever because-of the love of-the to-make-money not-even
πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται ἢ ὁπόθεν αὐτός τι
for one other-thing leisure makes than whence himself something
κερδανεῖ; Ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς
he-will-gain must-keep-away also from-this-one as to-me seems useless

γὰρ ἂν εἴη τῷ χρωμένῳ. Τί δέ; ὅστις στασιώδης
for — he-would-be to-the one-using what and whoever factious
τέ ἐστι καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν;
both is and willing many for-the friends enemies to-provide
Φευκτέον νὴ Δία καὶ τοῦτον. Εἰ δέ τις τούτων μὲν
must-be-shunned by Zeus also this-one if and someone of-these indeed
τῶν κακῶν μηδὲν ἔχοι, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν
the evils nothing should-have well but being-treated endures nothing
φροντίζων τοῦ ἀντευεργετεῖν; Ἀνωφελὴς ἂν εἴη καὶ οὗτος.
thinking of-the to-do-good-in-return useless — would-be also this-one
ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι;
but what-sort O Socrates shall-we-undertake a-friend to-make
5 Οἶμαι μέν, ὃς ἂν τἀναντία τούτων ἐγκρατὴς μὲν ᾖ τῶν
I-think indeed whoever — the-opposite of-these self-controlled indeed is of-the
τοῦ σώματος ἡδονῶν, εὔοικος δὲ καὶ εὐσύμβολος ὢν
of-the body pleasures easy-to-live-with and also easy-to-deal-with being
τυγχάνῃ καὶ φιλόνικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν
happens and eager-to-win toward the not to-fall-short well doing
τοὺς εὐεργετοῦντας αὐτόν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.
those benefiting him so-as to-be-profitable to-those using-him
6 Πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ Σώκρατες, πρὸ τοῦ
how then — these-things could-we-test O Socrates before the
χρῆσθαι; Τοὺς μὲν ἀνδριαντοποιούς, ἔφη, δοκιμάζομεν οὐ
to-use the indeed sculptors he-said we-test not
τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν
by-the words of-them judging but whomever — we-see
τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ
the earlier statues well having-made this-one
πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.
we-trust also the remaining well will-make

Καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους τοὺς 7
and a-man indeed you-say he-said whoever — the friends the
πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ τοὺς ὕστερον
earlier well treating appears clear to-be also the later
εὐεργετήσοντα; Καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν ὁρῶ
going-to-benefit and for with-horses he-said whomever — I-see
τοῖς πρόσθεν καλῶς χρώμενον, τοῦτον κἂν ἄλλοις οἶμαι
the earlier well using this-one also others I-think
καλῶς χρῆσθαι.
well to-use
Εἶεν, ἔφη· ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς 8
very-well he-said whoever and — to-us worthy of-friendship seems to-be how
χρὴ φίλον τοῦτον ποιεῖσθαι; Πρῶτον μέν, ἔφη, τὰ
is-it-needful a-friend this-one to-make first indeed he-said the-things
παρὰ τῶν θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν
from the gods must-be-considered whether they-advise him
φίλον ποιεῖσθαι. Τί οὖν; ἔφη, ὃν ἂν ἡμῖν τε δοκῇ καὶ
a-friend to-make what then he-said whom — to-us both seems and
οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν ὅπως οὗτος θηρατέος;
the gods not oppose can-you say how this-one must-be-hunted
Μὰ Δί', ἔφη, οὐ κατὰ πόδας ὥσπερ ὁ λαγῶς οὐδ' ἀπάτῃ 9
by Zeus he-said not on-the heels as the hare nor by-deceit
ὥσπερ αἱ ὄρνιθες οὐδὲ βίᾳ ὥσπερ οἱ κάπροι. ἄκοντα
as the birds nor by-force as the boars unwilling
γὰρ φίλον ἑλεῖν ἐργῶδες· χαλεπὸν δὲ καὶ δήσαντα
for a-friend to-catch laborious hard and also having-bound
κατέχειν ὥσπερ δοῦλον· ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι
to-hold as a-slave enemies for rather than friends
γίγνονται οἱ ταῦτα πάσχοντες. Φίλοι δὲ πῶς; ἔφη.
become those these-things suffering friends and how he-said

10 Εἶναι μέν τινάς φασιν ἐπῳδάς, ἃς οἱ ἐπιστάμενοι
to-be indeed some they-say incantations which those knowing-them
ἐπᾴδοντες οἷς ἂν βούλωνται φίλους αὐτοὺς ποιοῦνται·
singing-over whomever — they-wish friends them make
εἶναι δὲ καὶ φίλτρα, οἷς οἱ ἐπιστάμενοι πρὸς οὓς
to-be and also love-charms which those knowing-them toward whomever
ἂν βούλωνται χρώμενοι φιλοῦνται ὑπ᾽ αὐτῶν.
— they-wish using are-loved by them

11 Πόθεν οὖν, ἔφη, ταῦτα μάθοιμεν ἄν; Ἃ μὲν αἱ
whence then he-said these-things could-we-learn — what indeed the
Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ, ἤκουσας Ὁμήρου, ὧν
Sirens sang — to-Odysseus you-heard of-Homer of-which
ἐστιν ἀρχὴ τοιάδε τις·
is the-beginning such some

Δεῦρ᾽ ἄγε δή, πολύαιν᾽ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.
come-hither come indeed much-praised Odysseus great glory of-the-Achaeans

Ταύτην οὖν, ἔφη, τὴν ἐπῳδήν, ὦ Σώκρατες, καὶ τοῖς
this then he-said — incantation O Socrates also for-the
ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε
other men the Sirens singing held so-that
μὴ ἀπιέναι ἀπ᾽ αὐτῶν τοὺς ἐπᾳσθέντας;
not to-go-away from them those enchanted

12 Οὐκ ἀλλὰ τοῖς ἐπ᾽ ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον.
no but to-those for virtue being-ambitious so they-sang
Σχεδόν τι λέγεις τοιαῦτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα
nearly something you-say such-things it-is-needful to-each to-sing as
μὴ νομιεῖ ἀκούων τὸν ἐπαινοῦντα καταγελῶντα λέγειν;
not he-will-think hearing the praiser mocking to-say
Οὕτω μὲν γὰρ ἐχθίων τ᾽ ἂν εἴη καὶ ἀπελαύνοι τοὺς
so indeed for more-hateful both — he-would-be and would-drive-away the

ἀνθρώπους ἀφ᾽ ἑαυτοῦ, εἰ τὸν εἰδότα ὅτι μικρός τε καὶ
men from himself if the-one knowing that small both and
αἰσχρὸς καὶ ἀσθενής ἐστιν ἐπαινοίη λέγων ὅτι καλός τε καὶ
ugly and weak he-is should-praise saying that handsome both and
μέγας καὶ ἰσχυρός ἐστιν. Ἄλλας δέ τινας οἶσθα ἐπῳδάς;
tall and strong he-is other and any do-you-know incantations
Οὐκ ἀλλ᾽ ἤκουσα μὲν ὅτι Περικλῆς πολλὰς ἐπίσταιτο, ἃς 13
no but I-heard indeed that Pericles many knew which
ἐπᾴδων τῇ πόλει ἐποίει αὐτὴν φιλεῖν αὑτόν. Θεμιστοκλῆς
singing-over to-the city he-made it to-love himself Themistocles
δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὑτόν; Μὰ Δί᾽ οὐκ
but how did-he-make the city to-love himself by Zeus not
ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ.
singing-over but having-hung-on some good on-it
Δοκεῖς μοι λέγειν, ὦ Σώκρατες, ὡς, εἰ μέλλομεν ἀγαθόν 14
you-seem to-me to-say O Socrates that if we-are-about good
τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι
some to-acquire friend ourselves us good it-is-needful to-become
λέγειν τε καὶ πράττειν. Σὺ δ᾽ ᾠου, ἔφη ὁ Σωκράτης,
to-speak both and to-act you and thought said — Socrates
οἷόν τ᾽ εἶναι καὶ πονηρὸν ὄντα χρηστοὺς φίλους κτήσασθαι;
possible — to-be also wicked being good friends to-acquire
Ἑώρων γάρ, ἔφη ὁ Κριτόβουλος, ῥήτοράς τε φαύλους 15
I-saw for said — Critobulus orators both inferior
ἀγαθοῖς δημηγόροις φίλους ὄντας, καὶ στρατηγεῖν οὐχ
to-good public-speakers friends being and to-command not
ἱκανοὺς πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους.
able very skilled-in-command to-men comrades
Ἆρ᾽ οὖν, ἔφη, καί, περὶ οὗ διαλεγόμεθα, οἶσθά τινας 16
so then he-said also about what we-are-discussing do-you-know any
οἳ ἀνωφελεῖς ὄντες ὠφελίμους δύνανται φίλους ποιεῖσθαι;
who useless being useful can friends to-make

Μὰ Δί᾽ οὐ δῆτ᾽, ἔφη· ἀλλ᾽ εἰ ἀδύνατόν ἐστι πονηρὸν
by Zeus not indeed he-said but if impossible it-is wicked
ὄντα καλοὺς κἀγαθοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη μέλει
being fine and-good friends to-acquire that now concerns
μοι, εἰ ἔστιν αὐτὸν καλὸν κἀγαθὸν γενόμενον ἐξ
me whether it-is-possible oneself fine and-good having-become out-of
ἑτοίμου τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι.
hand to-the fine and-good a-friend to-be

17 Ὃ ταράττει σε, ὦ Κριτόβουλε, ὅτι πολλάκις ἄνδρας καὶ
what troubles you O Critobulus (is)-that often men both
τὰ καλὰ πράττοντας καὶ τῶν αἰσχρῶν ἀπεχομένους
the fine-things doing and from-the shameful-things abstaining
ὁρᾷς ἀντὶ τοῦ φίλους εἶναι στασιάζοντας ἀλλήλοις καὶ
you-see instead-of the friends to-be quarreling with-one-another and
χαλεπώτερον χρωμένους τῶν μηδενὸς ἀξίων ἀνθρώπων.
more-harshly treating-each-other than-the of-nothing worth men

18 Καὶ οὐ μόνον γ᾽, ἔφη ὁ Κριτόβουλος, οἱ ἰδιῶται
and not only at-least said — Critobulus the private-men
τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν
this do but also cities the of-the both fine-things
μάλιστα ἐπιμελόμεναι καὶ τὰ αἰσχρὰ ἥκιστα προσιέμεναι
most caring and the shameful-things least admitting
πολλάκις πολεμικῶς ἔχουσι πρὸς ἀλλήλας.
often hostilely are-disposed toward one-another

19 ἃ λογιζόμενος πάνυ ἀθύμως ἔχω πρὸς τὴν τῶν φίλων
which-things reckoning very despondently I-am toward the of-the friends
κτῆσιν· οὔτε γὰρ τοὺς πονηροὺς ὁρῶ φίλους ἀλλήλοις
acquisition neither for the wicked I-see friends to-one-another
δυναμένους εἶναι· πῶς γὰρ ἂν ἢ ἀχάριστοι ἢ ἀμελεῖς
able to-be how for — either ungrateful or careless
ἢ πλεονέκται ἢ ἄπιστοι ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο
or grasping or faithless or uncontrolled men could

φίλοι γενέσθαι; οἱ μὲν οὖν πονηροὶ πάντως ἔμοιγε
friends become the indeed then wicked altogether to-me-at-least
δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι.
seem to-one-another enemies rather than friends to-be-by-nature
ἀλλὰ μήν, ὥσπερ σὺ λέγεις, οὐδ' ἂν τοῖς χρηστοῖς οἱ 20
but indeed as you say not-even — with-the good the
πονηροί ποτε συναρμόσειαν εἰς φιλίαν· πῶς γὰρ οἱ τὰ
wicked ever could-be-joined into friendship how for those the
πονηρὰ ποιοῦντες τοῖς τὰ τοιαῦτα μισοῦσι φίλοι γένοιντ'
wicked-things doing to-those — such-things hating friends could-become
ἄν; εἰ δὲ δὴ καὶ οἱ ἀρετὴν ἀσκοῦντες στασιάζουσί
— if and indeed also those virtue practicing quarrel
τε περὶ τοῦ πρωτεύειν ἐν ταῖς πόλεσι καὶ φθονοῦντες
both about the to-be-first in the cities and envying
ἑαυτοῖς μισοῦσιν ἀλλήλους, τίνες ἔτι φίλοι ἔσονται καὶ
one-another hate one-another who still friends will-be and
ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται;
among what men goodwill and trust will-be
Ἀλλ' ἔχει μέν, ἔφη ὁ Σωκράτης, ποικίλως πως ταῦτα, 21
but it-is indeed said — Socrates intricately somehow these-things
ὦ Κριτόβουλε. φύσει γὰρ ἔχουσιν οἱ ἄνθρωποι τὰ
O Critobulus by-nature for have the men partly
μὲν φιλικά· δέονταί τε γὰρ ἀλλήλων καὶ ἐλεοῦσι
indeed friendly-traits they-need both for one-another and pity
καὶ συνεργοῦντες ὠφελοῦσι καὶ τοῦτο συνιέντες χάριν
and working-together benefit and this understanding gratitude
ἔχουσιν ἀλλήλοις· τὰ δὲ πολεμικά· τά τε γὰρ αὐτὰ
have to-one-another partly and hostile-traits the-things both for same
καλὰ καὶ ἡδέα νομίζοντες ὑπὲρ τούτων μάχονται καὶ
fine and pleasant thinking for these-things they-fight and
διχογνωμονοῦντες ἐναντιοῦνται· πολεμικὸν δὲ καὶ ἔρις
disagreeing they-oppose hostile and both strife

καὶ ὀργή· καὶ δυσμενὲς μὲν ὁ τοῦ πλεονεκτεῖν ἔρως,
and anger and malevolent indeed the of-the to-get-more desire
μισητὸν δὲ ὁ φθόνος.
hateful and the envy

22 ἀλλ' ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη
but nevertheless through these all the friendship slipping-through
συνάπτει τοὺς καλούς τε κἀγαθούς. διὰ γὰρ τὴν
joins the fine both and-good because-of for the
ἀρετὴν αἱροῦνται μὲν ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι
virtue they-choose indeed without toil the moderate-things to-possess
μᾶλλον ἢ διὰ πολέμου πάντων κυριεύειν, καὶ δύνανται
rather than through war of-all-things to-be-master and they-can
πεινῶντες καὶ διψῶντες ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν
hungering and thirsting without-pain of-food and drink to-share
καὶ τοῖς τῶν ὡραίων ἀφροδισίοις ἡδόμενοι καρτερεῖν,
and in-the of-the youthful sexual-pleasures taking-pleasure to-hold-out
ὥστε μὴ λυπεῖν οὓς μὴ προσήκει·
so-as not to-pain whom not it-is-fitting

23 δύνανται δὲ καὶ χρημάτων οὐ μόνον τοῦ πλεονεκτεῖν
they-can and also of-money not only from-the to-get-more
ἀπεχόμενοι νομίμως κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρκεῖν ἀλλήλοις·
abstaining lawfully to-share but also to-help one-another
δύνανται δὲ καὶ τὴν ἔριν οὐ μόνον ἀλύπως, ἀλλὰ
they-can and also the strife not only painlessly but
καὶ συμφερόντως ἀλλήλοις διατίθεσθαι καὶ τὴν ὀργὴν
also profitably to-one-another to-settle and the anger
κωλύειν εἰς τὸ μεταμελησόμενον προϊέναι· τὸν δὲ φθόνον
to-prevent to the what-will-be-repented to-go-on the but envy
παντάπασιν ἀφαιροῦσι, τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς φίλοις
altogether they-remove — indeed their-own goods to-the friends
οἰκεῖα παρέχοντες, τὰ δὲ τῶν φίλων ἑαυτῶν νομίζοντες.
their-own providing the and of-the friends their-own considering

πῶς οὖν οὐκ εἰκὸς τοὺς καλοὺς κἀγαθοὺς καὶ τῶν πολιτικῶν 24
how then not likely the fine and-good also of-the political
τιμῶν μὴ μόνον ἀβλαβεῖς, ἀλλὰ καὶ ὠφελίμους ἀλλήλοις
honors not only harmless but also beneficial to-one-another
κοινωνοὺς εἶναι; οἱ μὲν γὰρ ἐπιθυμοῦντες ἐν ταῖς πόλεσι
sharers to-be those indeed for desiring in the cities
τιμᾶσθαί τε καὶ ἄρχειν, ἵνα ἐξουσίαν ἔχωσι χρήματά
to-be-honored both and to-rule so-that license they-may-have money
τε κλέπτειν καὶ ἀνθρώπους βιάζεσθαι καὶ ἡδυπαθεῖν, ἄδικοί
both to-steal and men to-force and to-live-luxuriously unjust
τε καὶ πονηροὶ ἂν εἶεν καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι.
both and wicked — would-be and unable with-another to-be-joined
εἰ δέ τις ἐν πόλει τιμᾶσθαι βουλόμενος, ὅπως αὐτός τε 25
if but someone in a-city to-be-honored wishing so-that himself both
μὴ ἀδικῆται καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται,
not be-wronged and for-the friends the just-things to-help be-able
καὶ ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται,
and having-ruled good something to-do the fatherland tries
διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο
because-of what — such-a-one with-another such not — could
συναρμόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν
be-joined whether the friends to-benefit with the
καλῶν κἀγαθῶν ἧττον δυνήσεται; ἢ τὴν πόλιν εὐεργετεῖν
fine and-good less will-he-be-able or the city to-benefit
ἀδυνατώτερος ἔσται καλοὺς κἀγαθοὺς ἔχων συνεργούς;
more-unable will-he-be fine and-good having fellow-workers
ἀλλὰ καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι δῆλόν ἐστιν, ὅτι, εἰ 26
but also in the gymnastic contests clear it-is that if
ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους
it-were-possible for-the strongest having-combined against the weaker
ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων καὶ πάντα τὰ
to-go all — the contests these would-win and all the

ἆθλα οὗτοι ἐλάμβανον. ἐπεὶ οὖν ἐκεῖ μὲν οὐκ ἐῶσι τοῦτο
prizes these would-take since then there indeed not they-allow this
ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς, ἐν οἷς οἱ καλοὶ κἀγαθοὶ
to-do in but the political-affairs in which the fine and-good
κρατιστεύουσιν, οὐδεὶς κωλύει μεθ' οὗ ἄν τις βούληται τὴν
excel no-one prevents with whom — anyone wishes the
πόλιν εὐεργετεῖν, πῶς οὐ λυσιτελεῖ τοὺς βελτίστους φίλους
city to-benefit how not is-it-profitable the best friends
κτησάμενον πολιτεύεσθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς
having-acquired to-take-part-in-politics these as-partners and fellow-workers
τῶν πράξεων μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον;
of-the actions rather than as-rivals using

27 ἀλλὰ μὴν κἀκεῖνο δῆλον, ὅτι κἂν πολεμῇ τίς τινι,
but indeed also-that clear that even-if makes-war someone with-someone
συμμάχων δεήσεται, καὶ τούτων πλειόνων, ἐὰν καλοῖς
allies he-will-need and these more if fine
κἀγαθοῖς ἀντιτάττηται· καὶ μὴν οἱ συμμαχεῖν ἐθέλοντες
and-good he-is-arrayed-against and indeed those to-be-allies willing
εὖ ποιητέοι, ἵν' ἐθέλωσι προθυμεῖσθαι· πολὺ δὲ
well must-be-treated so-that they-may-be-willing to-be-zealous much but
κρεῖττον τοὺς βελτίστους ἐλάττονας εὖ ποιεῖν ἢ τοὺς
better the best fewer well to-treat than the
χείρονας πλείονας ὄντας· οἱ γὰρ πονηροὶ πολὺ πλειόνων
worse more being the for wicked much more
εὐεργεσιῶν ἢ οἱ χρηστοὶ δέονται.
benefits than the good need

28 ἀλλὰ θαρρῶν, ἔφη, ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς
but taking-courage he-said O Critobulus try good
γίγνεσθαι, καὶ τοιοῦτος γενόμενος θηρᾶν ἐπιχείρει τοὺς
to-become and such having-become to-hunt undertake the
καλούς τε κἀγαθούς. ἴσως δ' ἄν τί σοι κἀγὼ
fine both and-good perhaps and — something you also-I

συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγαθῶν θήραν ἔχοιμι
to-help for the of-the fine both and-good hunt could
διὰ τὸ ἐρωτικὸς εἶναι· δεινῶς γάρ, ὧν ἂν ἐπιθυμήσω
because-of the amorous to-be terribly for whomever — I-desire
ἀνθρώπων, ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς
of-men wholly I-am-impelled to the loving both them
ἀντιφιλεῖσθαι ὑπ᾽ αὐτῶν καὶ ποθῶν ἀντιποθεῖσθαι καὶ
to-be-loved-in-return by them and longing to-be-longed-for-in-return and
ἐπιθυμῶν συνεῖναι [καὶ] ἀντεπιθυμεῖσθαι τῆς συνουσίας·
desiring to-be-with and to-be-desired-in-return of-the company
ὁρῶ δὲ καὶ σοὶ τούτων δεῆσον, ὅταν ἐπιθυμήσῃς 29
I-see and also for-you of-these going-to-need whenever you-desire
φιλίαν πρός τινας ποιεῖσθαι· μὴ οὖν ἀποκρύπτου με
friendship with some to-make not then hide-from me
οἷς ἂν βούλοιο φίλος γενέσθαι· διὰ γὰρ τὸ
with-whom — you-would-wish a-friend to-become because-of for the
ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι οὐκ ἀπείρως
to-take-care of-the to-please the one-pleasing me not inexperiencedly
οἶμαι ἔχειν πρὸς θήραν ἀνθρώπων.
I-think to-be toward the-hunt of-men
καὶ ὁ Κριτόβουλος ἔφη· Καὶ μήν, ὦ Σώκρατες, τούτων 30
and — Critobulus said and indeed O Socrates these
ἐγὼ τῶν μαθημάτων πάλαι ἐπιθυμῶ ἄλλως τε καὶ εἰ
I of-the lessons long-since desire especially both and if
ἐξαρκέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς
will-suffice for-me the same knowledge for the good the
ψυχὰς καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα.
souls and for the beautiful the bodies
καὶ ὁ Σωκράτης ἔφη· Ἀλλ᾽, ὦ Κριτόβουλε, οὐκ ἔστιν 31
and — Socrates said but O Critobulus not there-is
ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας προσφέροντα ποιεῖν
in — my knowledge the the hands applying to-make

ὑπομένειν τοὺς καλούς. πέπεισμαι δὲ καὶ ἀπὸ τῆς
to-stay the beautiful I-am-persuaded and also from —
Σκύλλης διὰ τοῦτο φεύγειν τοὺς ἀνθρώπους, ὅτι τὰς
Scylla because-of this to-flee the men because the
χεῖρας αὐτοῖς προσέφερε· τὰς δέ γε Σειρῆνας, ὅτι τὰς
hands to-them she-applied the but at-least Sirens because the
χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόρρωθεν ἐπῇδον,
hands to-no-one they-applied but to-all from-afar sang
πάντας φασὶν ὑπομένειν καὶ ἀκούοντας αὐτῶν κηλεῖσθαι.
all they-say to-stay and hearing them to-be-charmed

32 καὶ ὁ Κριτόβουλος ἔφη· Ὡς οὐ προσοίσοντος τὰς χεῖρας,
and — Critobulus said as not about-to-apply the hands
εἴ τι ἔχεις ἀγαθὸν εἰς φίλων κτῆσιν, δίδασκε. Οὐδὲ τὸ
if anything you-have good for of-friends acquisition teach not-even the
στόμα οὖν, ἔφη ὁ Σωκράτης, πρὸς τὸ στόμα προσοίσεις;
mouth then said — Socrates to the mouth will-you-apply
Θάρρει, ἔφη ὁ Κριτόβουλος· οὐδὲ γὰρ τὸ στόμα πρὸς
take-courage said — Critobulus not-even for the mouth to
τὸ στόμα προσοίσω οὐδενί, ἐὰν μὴ καλὸς ᾖ. Εὐθύς,
the mouth will-I-apply to-anyone if not beautiful he-be at-once
ἔφη, σύγε, ὦ Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος
he-said you-at-least O Critobulus the-opposite of-the advantageous
εἴρηκας. οἱ μὲν γὰρ καλοὶ τὰ τοιαῦτα οὐχ ὑπομένουσιν·
you-have-said the indeed for beautiful — such-things not endure
οἱ δὲ αἰσχροὶ καὶ ἡδέως προσίενται, νομίζοντες διὰ
the but ugly even gladly admit thinking because-of
τὴν ψυχὴν καλοὶ καλεῖσθαι.
the soul beautiful to-be-called

33 καὶ ὁ Κριτόβουλος ἔφη· Ὡς τοὺς μὲν καλοὺς φιλήσοντός
and — Critobulus said as the indeed beautiful going-to-kiss
μου, τοὺς δ' ἀγαθοὺς καταφιλήσοντος, θαρρῶν δίδασκε
me the but good going-to-kiss-warmly confidently teach

τῶν φίλων τὰ θηρατικά. καὶ ὁ Σωκράτης ἔφη· Ὅταν οὖν,
of-the friends the hunting-arts and — Socrates said when then
ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις
O Critobulus a-friend to-someone you-wish to-become will-you-allow
με κατειπεῖν σου πρὸς αὐτὸν ὅτι ἄγασαί τε αὐτοῦ
me to-denounce you to him that you-admire both him
καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; Κατηγόρει, ἔφη ὁ
and you-desire a-friend of-him to-be denounce said —
Κριτόβουλος· οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας.
Critobulus no-one for I-know hating those praising
Ἐὰν δέ σου προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ ἄγασθαι 34
if and you I-further-accuse he-said that because-of the to-admire
αὐτοῦ καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτόν, ἆρα μὴ διαβάλλεσθαι
him also well-disposed you-are toward him then not to-be-slandered
δόξεις ὑπ᾽ ἐμοῦ; Ἀλλὰ καὶ αὐτῷ μοι, ἔφη, ἐγγίγνεται
will-you-seem by me but even myself to-me he-said arises
εὔνοια πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ.
goodwill toward whom — I-suppose well-disposed to-be toward me
Ταῦτα μὲν δή, ἔφη ὁ Σωκράτης, ἐξέσται μοι λέγειν 35
these-things indeed truly said — Socrates it-will-be-possible for-me to-say
περὶ σοῦ πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι· ἐὰν δέ
about you to whomever — you-wish friends to-make if but
μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ ὅτι ἐπιμελής τε
to-me further license you-give to-say about you that careful both
τῶν φίλων εἶ καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς,
of-the friends you-are and in-nothing so you-rejoice as in-friends good
καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλει οὐχ
and in both the fine deeds of-the friends you-exult no
ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φίλων
less than in — your-own and in the good-fortunes of-the friends
χαίρεις οὐδὲν ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, ὅπως τε ταῦτα
you-rejoice nothing less than in — your-own so-that both these-things

γίγνηται τοῖς φίλοις οὐκ ἀποκάμνεις μηχανώμενος, καὶ
may-come-about for-the friends not you-tire contriving and
ὅτι ἔγνωκας ἀνδρὸς ἀρετὴν εἶναι νικᾶν τοὺς μὲν
that you-have-recognized of-a-man virtue to-be to-surpass the indeed
φίλους εὖ ποιοῦντα, τοὺς δ' ἐχθροὺς κακῶς, πάνυ ἂν οἶμαί
friends well doing the but enemies ill very — I-think
σοι ἐπιτήδειον εἶναί με σύνθηρον τῶν ἀγαθῶν φίλων.
for-you useful to-be me a-fellow-hunter of-the good friends

36 Τί οὖν, ἔφη ὁ Κριτόβουλος, ἐμοὶ τοῦτο λέγεις, ὥσπερ οὐκ
why then said — Critobulus to-me this you-say as-if not
ἐπὶ σοὶ ὂν ὅ τι ἂν βούλῃ περὶ ἐμοῦ λέγειν; Μὰ Δί' οὐχ,
in you being what ever — you-wish about me to-say by Zeus not
ὡς ποτε ἐγὼ Ἀσπασίας ἤκουσα· ἔφη γὰρ τὰς ἀγαθὰς
as once I from-Aspasia heard she-said for the good
προμνηστρίδας μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας
matchmakers with indeed truth the-good-points reporting
δεινὰς εἶναι συνάγειν ἀνθρώπους εἰς κηδείαν, ψευδομένας
clever to-be to-bring-together people into marriage lying
δ' οὐκ ἐθέλειν ἐπαινεῖν· τοὺς γὰρ ἐξαπατηθέντας ἅμα
but not to-be-willing to-praise those for deceived at-once
μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην. ἃ δὴ
to-hate one-another both and the one-who-made-the-match which-things indeed
καὶ ἐγὼ πεισθεὶς ὀρθῶς ἔχειν ἡγοῦμαι οὐκ ἐξεῖναί μοι
also I persuaded right to-be consider not to-be-possible for-me
περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδὲν ὅ τι ἂν μὴ ἀληθεύω.
about you to-say praising anything what ever — not I-tell-truly

37 Σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι φίλος εἶ,
you indeed then said — Critobulus such to-me a-friend are
ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐτὸς ἔχω ἐπιτήδειον
O Socrates as if indeed anything myself I-have useful
εἰς τὸ φίλους κτήσασθαι, συλλαμβάνειν μοι· εἰ δὲ μή,
toward the friends to-acquire to-help me if but not

οὐκ ἂν ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ
not — you-would-be-willing having-invented anything to-say for — my
ὠφελείᾳ. Πότερα δ' ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε,
benefit whether and — said — Socrates O Critobulus
δοκῶ σοι μᾶλλον ὠφελεῖν σε τὰ ψευδῆ ἐπαινῶν ἢ
do-I-seem to-you more to-benefit you the false-things praising or
πείθων πειρᾶσθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι;
persuading to-try you a-good man to-become
εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι· εἰ γάρ σε 38
if but not evident so to-you from these-things consider if for you
βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ ψευδόμενος ἐπαινοίην,
wishing a-friend to-make to-a-shipowner lying I-should-praise
φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς
claiming good to-be a-steersman he and me persuaded
ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν, ἔχεις
should-entrust to-you the ship not knowing-how to-steer have-you
τινὰ ἐλπίδα μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι;
any hope not — yourself both and the ship to-destroy
ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν ψευδόμενος ὡς
or if to-you I-should-persuade in-common the city lying as
ἂν στρατηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν
— to-one-fit-to-command both and fit-to-judge and fit-for-politics itself
ἐπιτρέψαι, τί ἂν οἴει σεαυτὸν καὶ τὴν πόλιν ὑπὸ
to-entrust what — do-you-think yourself and the city by
σοῦ παθεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι
you to-suffer or if some privately of-the citizens I-should-persuade
ψευδόμενος ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ τὰ
lying as to-one-being a-good-manager both and careful —
ἑαυτῶν ἐπιτρέψαι, ἆρ' οὐκ ἂν πεῖραν διδοὺς ἅμα τε
their-own-affairs to-entrust then not — a-trial giving at-once both
βλαβερὸς εἴης καὶ καταγέλαστος φαίνοιο;
harmful you-would-be and ridiculous you-would-appear

39 ἀλλὰ συντομωτάτη τε καὶ ἀσφαλεστάτη καὶ καλλίστη
but shortest both and safest and finest
ὁδός, ὦ Κριτόβουλε, ὅ τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι,
road O Critobulus what ever — you-wish to-seem good to-be
τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι· ὅσαι δ' ἐν
this also to-become good to-try as-many-as and among
ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας
men virtues are-called considering you-will-find all
μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. ἐγὼ μὲν οὖν, ὦ
by-learning both and practice increased I indeed then O
Κριτόβουλε, οἶμαι δεῖν ἡμᾶς τὰς ἀρετὰς μελετᾶν· εἰ δὲ
Critobulus I-think it-is-needful us the virtues to-practice if but
σύ πως ἄλλως γιγνώσκεις, δίδασκε. καὶ ὁ Κριτόβουλος,
you somehow otherwise you-judge teach and — Critobulus
Ἀλλ' αἰσχυνοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων
but I-would-be-ashamed — he-said O Socrates contradicting
τούτοις· οὔτε γὰρ καλὰ οὔτε ἀληθῆ λέγοιμ' ἄν.
these-things neither for fine nor true-things would-I-say —

VII · ARISTARCHUS' HOUSEHOLD

Aristarchus is distressed: so many kinswomen have taken refuge with him in the civil strife that fourteen free people live in his house, and he cannot feed them. Socrates points out that others prosper by their slaves' crafts, and that the women know how to make bread and clothing. Aristarchus borrows capital and sets them to work; they become cheerful, and when they blame him for idleness, Socrates tells him the fable of the sheep and the dog.

1 Καὶ μὴν τὰς ἀπορίας γε τῶν φίλων τὰς μὲν δι'
and indeed the perplexities at-least of-the friends those indeed through
ἄγνοιαν ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι, τὰς δὲ δι' ἔνδειαν
ignorance he-tried by-counsel to-heal those but through want

διδάσκων κατὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ
teaching according-to ability one-another to-help I-will-tell and also
ἐν τούτοις ἃ σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε
in these what I-share-knowledge-of with-him Aristarchus for once
ὁρῶν σκυθρωπῶς ἔχοντα· Ἔοικας, ἔφη, ὦ Ἀρίσταρχε,
seeing gloomy being you-seem he-said O Aristarchus
βαρέως φέρειν τι. χρὴ δὲ τοῦ βάρους μεταδιδόναι
heavily to-bear something it-is-needful but of-the burden to-give-a-share
τοῖς φίλοις· ἴσως γὰρ ἄν τί σε καὶ ἡμεῖς κουφίσαιμεν.
to-the friends perhaps for — something you also we might-lighten
καὶ ὁ Ἀρίσταρχος· Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, ἐν 2
and — Aristarchus but indeed he-said O Socrates in
πολλῇ γέ εἰμι ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις,
much at-least I-am perplexity since for there-was-faction-in the city
πολλῶν φυγόντων εἰς τὸν Πειραιᾶ, συνεληλύθασιν ὡς ἐμὲ
many having-fled to the Piraeus have-come-together to me
καταλελειμμέναι ἀδελφαί τε καὶ ἀδελφιδαῖ καὶ ἀνεψιαὶ
left-behind sisters both and nieces and cousins
τοσαῦται ὥστ᾽ εἶναι ἐν τῇ οἰκίᾳ τέτταρας καὶ δέκα τοὺς
so-many that to-be in the house four and ten the
ἐλευθέρους. λαμβάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδέν· οἱ
free we-get but neither from the land anything the
γὰρ ἐναντίοι κρατοῦσιν αὐτῆς· οὔτ᾽ ἀπὸ τῶν οἰκιῶν·
for enemies control it nor from the houses
ὀλιγανθρωπία γὰρ ἐν τῷ ἄστει γέγονε. τὰ ἔπιπλα
scarcity-of-people for in the town there-has-been the furniture
δὲ οὐδεὶς ὠνεῖται· οὐδὲ δανείσασθαι οὐδαμόθεν ἔστιν
and no-one buys nor to-borrow from-anywhere it-is-possible
ἀργύριον, ἀλλὰ πρότερον ἄν τίς μοι δοκεῖ ἐν τῇ ὁδῷ
money but sooner — anyone to-me seems in the road
ζητῶν εὑρεῖν ἢ δανειζόμενος λαβεῖν. χαλεπὸν μὲν οὖν
seeking to-find than borrowing to-get hard indeed then

ἐστιν, ὦ Σώκρατες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους,
it-is O Socrates the kinsfolk to-overlook perishing
ἀδύνατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγμασιν.
impossible but so-many to-support in such circumstances
3 ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης· Τί ποτέ ἐστιν, ἔφη, ὅ
having-heard then these-things — Socrates what ever is-it he-said that
τι Κεράμων μὲν πολλοὺς τρέφων οὐ μόνον ἑαυτῷ τε καὶ
ever Ceramon indeed many supporting not only for-himself both and
τούτοις τὰ ἐπιτήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται
for-these the necessities is-able to-provide but even saves
τοσαῦτα ὥστε καὶ πλουτεῖν, σὺ δὲ πολλοὺς τρέφων δέδοικας
so-much that even to-be-rich you but many supporting fear
μὴ δι᾽ ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; Ὅτι
lest through want of-the necessities all you-perish because
νὴ Δί᾽, ἔφη, ὁ μὲν δούλους τρέφει, ἐγὼ δ᾽ ἐλευθέρους.
by Zeus he-said he indeed slaves supports I but free-persons
4 Καὶ πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει
and whether he-said those with you free do-you-think
βελτίους εἶναι ἢ τοὺς παρὰ Κεράμωνι δούλους; Ἐγὼ μὲν
better to-be or those with Ceramon slaves I indeed
οἶμαι, ἔφη, τοὺς παρ᾽ ἐμοὶ ἐλευθέρους. Οὐκοῦν, ἔφη, αἰσχρὸν
I-think he-said those with me free therefore he-said shameful
τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ
the-one indeed from the worse to-prosper you but much
βελτίους ἔχοντα ἐν ἀπορίᾳ εἶναι; Νὴ Δί᾽, ἔφη, ὁ μὲν
better having in perplexity to-be by Zeus he-said he indeed
γὰρ τεχνίτας τρέφει, ἐγὼ δ᾽ ἐλευθερίως πεπαιδευμένους.
for craftsmen supports I but liberally educated-persons
5 Ἆρ᾽ οὖν, ἔφη, τεχνῖταί εἰσιν οἱ χρήσιμόν τι ποιεῖν
so then he-said craftsmen are those useful something to-make
ἐπιστάμενοι; Μάλιστά γ᾽, ἔφη. Οὐκοῦν χρήσιμά γ᾽
knowing-how certainly at-least he-said therefore useful at-least

ἄλφιτα; Σφόδρα γε. Τί δ' ἄρτοι; Οὐδὲν ἧττον. Τί
barley-meal very at-least what and loaves nothing less what
γάρ; ἔφη, ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα καὶ χιτωνίσκοι
for he-said cloaks both men's and women's and tunics
καὶ χλαμύδες καὶ ἐξωμίδες; Σφόδρα γ', ἔφη, καὶ πάντα
and capes and sleeveless-tunics very at-least he-said even all
ταῦτα χρήσιμα. Ἔπειτα, ἔφη, οἱ παρὰ σοὶ τούτων
these-things useful then he-said those with you of-these
οὐδὲν ἐπίστανται ποιεῖν; Πάντα μὲν οὖν, ὡς ἐγῷμαι.
nothing know-how to-make all indeed then as I-think
Εἶτ' οὐκ οἶσθα ὅτι ἀφ' ἑνὸς μὲν τούτων, ἀλφιτοποιίας, 6
then not you-know that from one indeed of-these barley-meal-making
Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει,
Nausicydes not only himself both and the servants supports
ἀλλὰ πρὸς τούτοις καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ
but in-addition-to these also pigs many and cattle and
περιποιεῖται τοσαῦτα ὥστε καὶ τῇ πόλει πολλάκις
saves so-much that even for-the city often
λειτουργεῖν, ἀπὸ δὲ ἀρτοποιίας Κύρηβος τήν τε οἰκίαν
to-perform-public-services from and bread-making Cyrebus the both household
πᾶσαν διατρέφει καὶ ζῇ δαψιλῶς, Δημέας δ' ὁ Κολλυτεὺς
all maintains and lives lavishly Demeas and the Collytian
ἀπὸ χλαμυδουργίας, Μένων δ' ἀπὸ χλανιδοποιίας,
from cape-making Menon and from cloak-making
Μεγαρέων δ' οἱ πλεῖστοι ἀπὸ ἐξωμιδοποιίας διατρέφονται;
of-the-Megarians and the most from sleeveless-tunic-making are-maintained
Νὴ Δί', ἔφη, οὗτοι μὲν γὰρ ὠνούμενοι βαρβάρους
by Zeus he-said these indeed for buying barbarian
ἀνθρώπους ἔχουσιν, ὥστ' ἀναγκάζειν ἐργάζεσθαι ἃ καλῶς
people have so-as to-compel to-work what fitly
ἔχει, ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς.
is I but free-persons both and kinsfolk

7 Ἔπειτ', ἔφη, ὅτι ἐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι,
then he-said because free both they-are and kin to-you
οἴει χρῆναι αὐτοὺς μηδὲν ἄλλο ποιεῖν ἢ ἐσθίειν καὶ
do-you-think it-is-needful them nothing else to-do than to-eat and
καθεύδειν; πότερον καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω
to-sleep whether also of-the other free-persons those so
ζῶντας ἄμεινον διάγοντας ὁρᾷς καὶ μᾶλλον εὐδαιμονίζεις
living better faring do-you-see and more do-you-count-happy
ἢ τούς, ἃ ἐπίστανται χρήσιμα πρὸς τὸν βίον, τούτων
than those what they-know useful for the life these-things
ἐπιμελομένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν
caring-for or the indeed idleness and the carelessness
αἰσθάνει τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν, ἃ προσήκει
do-you-perceive for-the men for both the to-learn what is-fitting
ἐπίστασθαι, καὶ πρὸς τὸ μνημονεύειν, ἃ ἂν μάθωσι, καὶ
to-know and for the to-remember what — they-learn and
πρὸς τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι καὶ πρὸς τὸ
for the to-be-healthy both and to-be-strong in-the bodies and for the
κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς τὸν βίον ὠφέλιμα
to-acquire both and to-keep the useful-things for the life beneficial
ὄντα, τὴν δ' ἐργασίαν καὶ τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα;
being the but work and the care in-nothing useful
8 ἔμαθον δέ, ἃ φὴς αὐτὰς ἐπίστασθαι, πότερον ὡς
they-learned and what you-say they to-know whether as
οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον οὔτε ποιήσουσαι
neither useful being for the life nor going-to-do
αὐτῶν οὐδέν, ἢ τοὐναντίον ὡς καὶ ἐπιμελησόμεναι
of-them anything or the-opposite as also going-to-take-care
τούτων καὶ ὠφελησόμεναι ἀπ' αὐτῶν; ποτέρως γὰρ ἂν
of-these and going-to-benefit from them in-which-way for —
μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες ἢ τῶν χρησίμων
more men would-be-temperate being-idle or the useful-things

ἐπιμελόμενοι; ποτέρως δ' ἂν δικαιότεροι εἶεν, εἰ
caring-for in-which-way and — more-just would-they-be if
ἐργάζοιντο ἢ εἰ ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων;
they-worked or if being-idle they-deliberated about the necessities
ἀλλὰ καὶ νῦν μέν, ὡς ἐγῷμαι, οὔτε σὺ ἐκείνας φιλεῖς 9
but also now indeed as I-think neither you them love
οὔτ' ἐκεῖναι σέ, σὺ μὲν ἡγούμενος αὐτὰς ἐπιζημίους εἶναι
nor they you you indeed considering them burdensome to-be
σεαυτῷ, ἐκεῖναι δὲ σὲ ὁρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς· ἐκ
to-yourself they but you seeing vexed at themselves from
δὲ τούτων κίνδυνος μείζω τε ἀπέχθειαν γίγνεσθαι καὶ τὴν
and these-things danger greater both hatred to-arise and the
προγεγονυῖαν χάριν μειοῦσθαι. ἐὰν δὲ προστατήσῃς ὅπως
previous gratitude to-be-diminished if but you-see-to-it that
ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους
active they-be you indeed them will-love seeing useful
σεαυτῷ οὔσας, ἐκεῖναι δὲ σὲ ἀγαπήσουσιν, αἰσθόμεναι
to-yourself being they and you will-cherish perceiving
χαίροντα αὐταῖς, τῶν δὲ προγεγονυιῶν εὐεργεσιῶν ἥδιον
pleased with-them the and previous benefits more-pleasantly
μεμνημένοι τὴν ἀπ' ἐκείνων χάριν αὐξήσετε, καὶ ἐκ
remembering the from those gratitude you-will-increase and from
τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε.
these more-friendly both and more-intimate to-one-another you-will-be
εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάσεσθαι, 10
if indeed then shameful something they-were-about to-do
θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν· νῦν δὲ ἃ μὲν δοκεῖ
death instead-of it must-be-preferred was now but what indeed seem
κάλλιστα καὶ πρεπωδέστατα γυναικὶ εἶναι ἐπίστανται, ὡς
finest and most-becoming for-a-woman to-be they-know as
ἔοικε· πάντες δὲ ἃ ἐπίστανται ῥᾷστά τε καὶ τάχιστα
it-seems all and what they-know most-easily both and most-quickly

καὶ κάλλιστα καὶ ἥδιστα ἐργάζονται. μὴ οὖν ὄκνει, ἔφη,
and best and most-pleasantly do not then hesitate he-said
ταῦτα εἰσηγεῖσθαι αὐταῖς ἃ σοί τε λυσιτελήσει κἀκείναις·
these-things to-introduce to-them which for-you both will-be-profitable and-for-them
11 καί, ὡς εἰκός, ἡδέως ὑπακούσονται. Ἀλλὰ νὴ τοὺς θεούς,
and as is-likely gladly they-will-obey but by the gods
ἔφη ὁ Ἀρίσταρχος, οὕτω μοι δοκεῖς καλῶς λέγειν, ὦ
said — Aristarchus so to-me you-seem well to-speak O
Σώκρατες, ὥστε πρόσθεν μὲν οὐ προσιέμην δανείσασθαι,
Socrates that formerly indeed not I-admitted to-borrow
εἰδὼς ὅτι ἀναλώσας ὃ ἂν λάβω οὐχ ἕξω ἀποδοῦναι, νῦν
knowing that having-spent what — I-get not I-shall-have to-repay now
δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομενεῖν αὐτὸ ποιῆσαι.
but to-me I-seem for of-works a-starting-capital to-be-willing it to-do
12 Ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμή, ἐωνήθη δὲ ἔρια·
from these and was-provided indeed capital was-bought and wool
καὶ ἐργαζόμεναι μὲν ἠρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν,
and working indeed they-lunched having-worked and they-dined
ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν· καὶ ἀντὶ ὑφορωμένων
cheerful and instead-of gloomy they-were and instead-of looking-askance-at
ἑαυτοὺς ἡδέως ἀλλήλους ἑώρων, καὶ αἱ μὲν ὡς κηδεμόνα
one-another gladly one-another they-saw and they indeed as guardian
ἐφίλουν, ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. τέλος δὲ ἐλθὼν
loved-him he and as useful cherished-them finally and having-come
πρὸς τὸν Σωκράτη χαίρων διηγεῖτο ταῦτά τε καὶ ὅτι
to — Socrates rejoicing he-related these-things both and that
αἰτιῶνται αὐτὸν μόνον τῶν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν.
they-blame him alone of-those in the house idle to-eat
13 καὶ ὁ Σωκράτης ἔφη· Εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς
and — Socrates said then not do-you-tell them the of-the dog
λόγον; φασὶ γάρ, ὅτε φωνήεντα ἦν τὰ ζῷα, τὴν οἶν πρὸς
story they-say for when endowed-with-speech were the animals the sheep to

τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς
the master to-say strange-thing you-do who to-us indeed the-ones
καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως
both wool to-you and lambs and cheese providing nothing give
ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν
what ever — not from the earth we-get to-the but dog who nothing
τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου.
such to-you provides you-share of-which yourself you-have food
τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· Ναὶ μὰ Δί᾽· ἐγὼ γάρ εἰμι 14
the dog then having-heard to-say yes by Zeus I for am
ὁ καὶ ὑμᾶς αὐτὰς σῴζων ὥστε μήτε ὑπ᾽ ἀνθρώπων
the-one also you yourselves keeping-safe so-that neither by men
κλέπτεσθαι μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς
to-be-stolen nor by wolves to-be-carried-off since you
γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ᾽ ἂν νέμεσθαι
at-least if not I should-guard you not-even — to-graze
δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. οὕτω δὴ λέγεται
could fearing lest you-perish so indeed is-said
καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι. καὶ
also the sheep to-have-conceded the dog to-be-preferred and
σὺ οὖν ἐκείναις λέγε ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ
you then to-them tell that instead-of a-dog you-are guardian and
ἐπιμελητής, καὶ διὰ σὲ οὐδ᾽ ὑφ᾽ ἑνὸς ἀδικούμεναι
overseer and because-of you not-even by one being-wronged
ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν.
safely both and pleasantly working they-live

VIII · EUTHERUS TAKES A STEWARD'S POST

Eutherus, who lost his property abroad in the war, is earning his living by manual labor. Socrates warns that his body will not last and advises him to become a rich man's steward. Eutherus balks at such servitude; Socrates answers that public officials are not thought slavish, and that every work brings blame, so he should serve fair-minded men and do his best.

1 Ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδών·
another and once old comrade after a-time having-seen
Πόθεν, ἔφη, Εὔθηρε, φαίνει; Ὑπὸ μὲν τὴν κατάλυσιν
whence he-said Eutherus do-you-appear at indeed the end
τοῦ πολέμου, ἔφη, ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας,
of-the war he-said O Socrates from the travels-abroad
νυνὶ μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ
now however from-here-itself since for we-were-deprived-of the in the
ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ μοι οὐδὲν
across-the-border possessions in and — Attica the father to-me nothing
κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας τῷ σώματι
left I-am-compelled now having-come-home with-the body
ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο
working the necessities to-procure it-seems and to-me this
κρεῖττον εἶναι ἢ δέεσθαί τινος ἀνθρώπων, ἄλλως τε
better to-be than to-need anyone of-men especially both
καὶ μηδὲν ἔχοντα ἐφ' ὅτῳ ἂν δανειζοίμην.
and nothing having on which — I-might-borrow

2 Καὶ πόσον ἂν χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν
and how-long — time do-you-think for-you he-said the body able
εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι; Μὰ τὸν Δί', ἔφη,
to-be for-wages the necessities to-earn by — Zeus he-said
οὐ πολὺν χρόνον. Καὶ μήν, ἔφη, ὅταν γε πρεσβύτερος
not long time and indeed he-said when at-least older

γένῃ, δῆλον ὅτι δαπάνης μὲν δεήσει, μισθὸν δὲ οὐδείς
you-become clear that expenses indeed you-will-need wage but no-one
σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι.
to-you will-be-willing for-the of-the body works to-give
Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν 3
true-things you-say he-said therefore he-said better it-is right-away
τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ
— to-such of-the works to-apply which even for-one-older
γενομένῳ ἐπαρκέσει, καὶ προσελθόντα τῳ τῶν πλείονα
having-become will-suffice and having-approached someone of-those more
χρήματα κεκτημένων, [τῷ] δεομένῳ τοῦ συνεπιμελησομένου,
money having-acquired the needing the one-who-will-help-take-care
ἔργων τε ἐπιστατοῦντα καὶ συγκομίζοντα καρποὺς καὶ
of-works both supervising and helping-gather crops and
συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι.
helping-guard the property benefiting to-be-benefited-in-return
Χαλεπῶς ἄν, ἔφη, ἐγώ, ὦ Σώκρατες, δουλείαν ὑπομείναιμι. 4
hardly — he-said I O Socrates slavery could-endure
Καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες καὶ
and indeed those at-least in the cities presiding and
τῶν δημοσίων ἐπιμελούμενοι οὐ δουλοπρεπέστεροι ἕνεκα
the public-affairs taking-care-of not more-slavish for-the-sake
τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται.
of-this but more-free are-thought
Ὅλως, ἔφη, ὦ Σώκρατες, τὸ ὑπαίτιον εἶναί τινι οὐ 5
at-all he-said O Socrates the liable-to-blame to-be to-someone not
πάνυ προσίεμαι. Καὶ μήν, ἔφη, Εὔθηρε, οὐ πάνυ γε
very I-accept and indeed he-said Eutherus not very at-least
ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν
easy it-is to-find a-work at which not — anyone blame
ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι ὥστε μηδὲν
would-have hard for so anything to-do so-as nothing

ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντα
to-err hard and also faultlessly anything having-done
μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν· ἐπεὶ καὶ οἷς νῦν ἐργάζεσθαι
not an-unfair judge to-meet since even in-what now to-work
φὴς θαυμάζω εἰ ῥᾴδιόν ἐστιν ἀνέγκλητον διαγίγνεσθαι.
you-say I-wonder if easy it-is blameless to-come-through
6 χρὴ οὖν πειρᾶσθαι τοὺς φιλαιτίους φεύγειν καὶ τοὺς
it-is-needful then to-try the fault-finding to-shun and the
εὐγνώμονας διώκειν, καὶ τῶν πραγμάτων ὅσα μὲν
fair-minded to-pursue and of-the affairs as-many-as indeed
δύνασαι ποιεῖν ὑπομένειν, ὅσα δὲ μὴ δύνασαι φυλάττεσθαι,
you-can to-do to-undertake as-many-as but not you-can to-guard-against
ὅ τι δ' ἂν πράττῃς, τούτου ὡς κάλλιστα καὶ προθυμότατα
what ever and — you-do this as finely and most-zealously
ἐπιμελεῖσθαι. οὕτω γὰρ ἥκιστ' ἂν μέν σε οἶμαι ἐν αἰτίᾳ
to-take-care-of so for least — indeed you I-think in blame
εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ βοήθειαν εὑρεῖν, ῥᾷστα
to-be most but for-the perplexity help to-find most-easily
δὲ καὶ ἀκινδυνότατα ζῆν καὶ εἰς τὸ γῆρας διαρκέστατα.
and and most-safely to-live and into the old-age most-sufficiently

IX · CRITO'S WATCHDOG

Crito complains that informers sue him because he would rather pay than fight. As he keeps dogs to guard his sheep, Socrates advises him to keep a man to guard him. Crito befriends the able and honest Archedemus, who turns on the informers and drives them off; soon Crito's friends want him too, and he becomes one of Crito's friends.

Οἶδα δέ ποτε αὐτὸν καὶ Κρίτωνος ἀκούσαντα, ὡς χαλεπὸν 1
I-know and once him also from-Crito having-heard how hard
ὁ βίος Ἀθήνησιν εἴη ἀνδρὶ βουλομένῳ τὰ ἑαυτοῦ
the life at-Athens was for-a-man wishing — his-own
πράττειν. Νῦν γάρ, ἔφη, ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ
to-mind now for he-said me some into lawsuits bring not
ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ' ὅτι νομίζουσιν ᾗδιον
because they-are-wronged by me but because they-think more-gladly
ἄν με ἀργύριον τελέσαι ἢ πράγματα ἔχειν.
— me money to-pay than troubles to-have
καὶ ὁ Σωκράτης· Εἰπέ μοι, ἔφη, ὦ Κρίτων, κύνας 2
and — Socrates tell me he-said O Crito dogs
δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων
and do-you-keep so-that for-you the wolves from the sheep
ἀπερύκωσι; Καὶ μάλα, ἔφη· μᾶλλον γάρ μοι λυσιτελεῖ
they-may-keep-off yes very he-said more for for-me it-pays
τρέφειν ἢ μή. Οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα,
to-keep-them than not not — then would-you-keep also a-man
ὅστις ἐθέλοι τε καὶ δύναιτο σοῦ ἀπερύκειν τοὺς
who would-be-willing both and could from-you to-keep-off those
ἐπιχειροῦντας ἀδικεῖν σε;
attempting to-wrong you
Ἥδεως γ' ἄν, ἔφη, εἰ μὴ φοβοίμην ὅπως μὴ ἐπ' 3
gladly at-least — he-said if not I-feared — lest against
αὐτόν με τράποιτο. Τί δ'; ἔφη, οὐχ ὁρᾷς ὅτι πολλῷ
myself me he-turn what and he-said not you-see that much
ᾗδιόν ἐστι χαριζόμενον οἵῳ σοὶ ἀνδρὶ ἢ ἀπεχθόμενον
more-pleasant it-is gratifying such as-you a-man than incurring-hatred
ὠφελεῖσθαι; εὖ ἴσθ' ὅτι εἰσὶν ἐνθάδε τῶν τοιούτων
to-be-benefited well know that there-are here — of-such
ἀνδρῶν, οἳ πάνυ ἂν φιλοτιμηθεῖεν φίλῳ σοι χρῆσθαι.
men who very — would-be-ambitious as-a-friend you to-have

4 Καὶ ἐκ τούτων ἀνευρίσκουσιν Ἀρχέδημον, πάνυ μὲν
and from these they-find Archedemus very indeed
ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι, πένητα δέ· οὐ γὰρ ἦν οἷος
able to-speak both and to-act poor but not for he-was such-as
ἀπὸ παντὸς κερδαίνειν, ἀλλὰ φιλόχρηστός τε καὶ ἔφη
from everything to-make-gain but honest both and he-said
ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν. τούτῳ
most-easy to-be from the informers to-take to-this-man
οὖν ὁ Κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον ἢ ἔλαιον
then — Crito whenever he-gathered-in either grain or oil
ἢ οἶνον ἢ ἔρια ἤ τι ἄλλο τῶν ἐν ἀγρῷ γιγνομένων
or wine or wool or some other of-the in field produced
χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἂν ἔδωκε· καὶ
useful-things for the life having-set-apart — he-would-give and
ὁπότε θύοι, ἐκάλει, καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο.
whenever he-sacrificed he-invited and — such-things all he-attended-to
5 νομίσας δὲ ὁ Ἀρχέδημος ἀποστροφὴν οἱ τὸν
having-considered and — Archedemus a-refuge for-himself the
Κρίτωνος οἶκον μάλα περιεῖπεν αὐτόν. καὶ εὐθύς του
of-Crito house greatly courted him and at-once one
τῶν συκοφαντούντων τὸν Κρίτωνα ἀνευρίσκει πολλὰ μὲν
of-the informing-against — Crito he-finds-out many indeed
ἀδικήματα, πολλοὺς δ' ἐχθρούς· καὶ προσεκαλέσατο εἰς
crimes many and enemies and he-summoned-him to
δίκην δημοσίαν, ἐν ᾗ αὐτὸν ἔδει κριθῆναι ὅ τι
trial public in which him it-was-needful to-be-judged what ever
δεῖ παθεῖν ἢ ἀποτῖσαι.
he-must to-suffer or to-pay
6 ὁ δὲ συνειδὼς αὑτῷ πολλὰ καὶ πονηρὰ πάντ' ἐποίει
he and conscious for-himself of-many and wicked-things everything did
ὥστε ἀπαλλαγῆναι τοῦ Ἀρχεδήμου. ὁ δὲ Ἀρχέδημος οὐκ
so-as to-be-rid — of-Archedemus — but Archedemus not

ἀπηλλάττετο, ἕως τόν τε Κρίτωνα ἀφῆκε καὶ αὐτῷ
let-go until — both Crito he-let-alone and to-him
χρήματα ἔδωκεν.
money he-gave

ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ Ἀρχέδημος 7
when and this both and other such-things — Archedemus
διεπράξατο, ἤδη τότε, ὥσπερ, ὅταν νομεὺς ἀγαθὸν κύνα
had-accomplished already then just-as when a-herdsman good dog
ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλονται πλησίον αὐτοῦ τὰς
has also the other herdsmen wish near him the
ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω δὴ
herds to-station so-that of-the dog they-may-benefit so indeed
καὶ Κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο καὶ σφίσι
also of-Crito many of-the friends asked also for-themselves
παρέχειν φύλακα τὸν Ἀρχέδημον.
to-provide as-guardian — Archedemus

ὁ δὲ Ἀρχέδημος τῷ Κρίτωνι ἡδέως ἐχαρίζετο, καὶ οὐχ 8
— and Archedemus — to-Crito gladly gratified and not
ὅτι μόνος ὁ Κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ καὶ οἱ φίλοι
that alone — Crito in quiet was but also the friends
αὐτοῦ. εἰ δέ τις αὐτῷ τούτων οἷς ἀπήχθετο ὀνειδίζοι
of-him if and someone to-him of-those whom he-had-offended reproached
ὡς ὑπὸ Κρίτωνος ὠφελούμενος κολακεύοι αὐτόν· Πότερον
that by Crito being-benefited he-flattered him whether
οὖν, ἔφη ὁ Ἀρχέδημος, αἰσχρόν ἐστιν εὐεργετούμενον
then said — Archedemus shameful is-it being-benefited
ὑπὸ χρηστῶν ἀνθρώπων καὶ ἀντευεργετοῦντα τοὺς μὲν
by good men and benefiting-in-return — indeed
τοιούτους φίλους ποιεῖσθαι, τοῖς δὲ πονηροῖς διαφέρεσθαι,
such friends to-make with-the but wicked to-be-at-odds
ἢ τοὺς μὲν καλοὺς κἀγαθοὺς ἀδικεῖν πειρώμενον ἐχθροὺς
or the indeed fine and-good to-wrong trying enemies

ποιεῖσθαι, τοῖς δὲ πονηροῖς συνεργοῦντα πειρᾶσθαι φίλους
to-make with-the but wicked working-together trying friends
ποιεῖσθαι καὶ χρῆσθαι τούτοις ἀντ᾽ ἐκείνων; ἐκ δὲ
to-make and to-use these instead-of those from and
τούτου εἷς τε τῶν Κρίτωνος φίλων Ἀρχέδημος ἦν καὶ
this one both of-the of-Crito friends Archedemus was and
ὑπὸ τῶν ἄλλων Κρίτωνος φίλων ἐτιμᾶτο.
by the other of-Crito friends was-honored

X · DIODORUS AND HERMOGENES

Socrates asks Diodorus whether he would recover a runaway slave or nurse a sick one; then he should help his friend Hermogenes, who is in need and would repay him with service worth many slaves. Good friends are cheap at such a time. Diodorus goes himself to Hermogenes and for a small outlay gains a friend devoted to his good.

1 Οἶδα δὲ καὶ Διοδώρῳ αὐτὸν ἑταίρῳ ὄντι τοιάδε
I-know and also to-Diodorus him a-comrade being such-things
διαλεχθέντα· Εἰπέ μοι, ἔφη, ὦ Διόδωρε, ἄν τίς σοι τῶν
having-conversed tell me he-said O Diodorus if any to-you of-the
οἰκετῶν ἀποδρᾷ, ἐπιμελεῖ ὅπως ἀνασώσει;
servants runs-away do-you-take-care how you-will-recover-him
2 Καὶ ἄλλους γε νὴ Δί᾽, ἔφη, παρακαλῶ, σῶστρα τούτου
and others at-least by Zeus he-said I-summon a-reward for-this
ἀνακηρύττων. Τί γάρ; ἔφη, ἐάν τίς σοι κάμνῃ τῶν
proclaiming what for he-said if any to-you is-sick of-the
οἰκετῶν, τούτου ἐπιμελεῖ καὶ παρακαλεῖς ἰατρούς, ὅπως
servants of-this do-you-take-care and summon doctors so-that
μὴ ἀποθάνῃ; Σφόδρα γ᾽, ἔφη. Εἰ δέ τίς σοι τῶν
not he-die very at-least he-said if but any to-you of-the
γνωρίμων, ἔφη, πολὺ τῶν οἰκετῶν χρησιμώτερος ὢν
acquaintances he-said much than-the servants more-useful being

κινδυνεύει δι᾽ ἔνδειαν ἀπολέσθαι, οὐκ οἴει σοι
is-in-danger through want to-perish not do-you-think for-you
ἄξιον εἶναι ἐπιμεληθῆναι ὅπως διασωθῇ;
worthwhile to-be to-take-care so-that he-be-saved
καὶ μὴν οἶσθά γε ὅτι οὐκ ἀγνώμων ἐστὶν Ἑρμογένης, 3
and indeed you-know at-least that not unfeeling is Hermogenes
αἰσχύνοιτο δ᾽ ἄν, εἰ ὠφελούμενος ὑπὸ σοῦ μὴ
he-would-be-ashamed and — if being-benefited by you not
ἀντωφελοίη σε· καίτοι τὸ ὑπηρέτην ἑκόντα τε καὶ
should-benefit-in-return you and-yet the a-helper willing both and
εὔνουν καὶ παραμόνιμον [καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν]
well-disposed and constant and the thing-bidden able to-do
ἔχειν καὶ μὴ μόνον τὸ κελευόμενον ἱκανὸν ὄντα ποιεῖν,
to-have and not only the thing-bidden able being to-do
ἀλλὰ δυνάμενον καὶ ἀφ᾽ ἑαυτοῦ χρήσιμον εἶναι καὶ προνοεῖν
but able also of himself useful to-be and to-foresee
καὶ προβουλεύεσθαι πολλῶν οἰκετῶν οἶμαι ἀντάξιον εἶναι.
and to-plan-ahead of-many servants I-think equal-in-worth to-be
οἱ μέντοι ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ 4
the however good managers when the of-much worth for-little
ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι· νῦν δὲ
it-is-possible to-buy then they-say it-is-needful to-buy now but
διὰ τὰ πράγματα εὐωνοτάτους ἔστι φίλους ἀγαθοὺς
because-of the circumstances very-cheap it-is-possible friends good
κτήσασθαι.
to-acquire
καὶ ὁ Διόδωρος· Ἀλλὰ καλῶς γε, ἔφη, λέγεις, ὦ 5
and — Diodorus but well at-least he-said you-speak O
Σώκρατες, καὶ κέλευσον ἐλθεῖν ὡς ἐμὲ τὸν Ἑρμογένη.
Socrates and bid to-come to me — Hermogenes
Μὰ Δί᾽, ἔφη, οὐκ ἔγωγε· νομίζω γὰρ οὔτε σοὶ κάλλιον
by Zeus he-said not I-at-least I-think for neither for-you finer

εἶναι τὸ καλέσαι ἐκεῖνον τοῦ αὐτὸν ἐλθεῖν πρὸς ἐκεῖνον
to-be the to-summon him than-the yourself to-go to him
οὔτ᾽ ἐκείνῳ μεῖζον ἀγαθὸν τὸ πραχθῆναι ταῦτα ἢ σοί.
nor for-him greater good the to-be-done these-things than for-you
6 οὕτω δὴ ὁ Διόδωρος ᾤχετο πρὸς τὸν Ἑρμογένη· καὶ
so indeed — Diodorus went to — Hermogenes and
οὐ πολὺ τελέσας ἐκτήσατο φίλον, ὃς ἔργον εἶχε σκοπεῖν
not much having-paid acquired a-friend who his-business had to-consider
ὅ τι ἂν ἢ λέγων ἢ πράττων ὠφελοίη τε καὶ
what ever — either saying or doing he-might-benefit both and
εὐφραίνοι Διόδωρον.
might-cheer Diodorus

BOOK III

I · THE TEACHER OF GENERALSHIP

Dionysodorus comes to Athens professing to teach generalship, and Socrates urges an ambitious young man to learn it. When the young man returns, Socrates teases him and asks what he was taught: only tactics. A general must also provide supplies, be inventive, careful, and enduring, tell good soldiers from bad, and know when to use each formation; since Dionysodorus taught neither, he should go back and ask.

Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν ἐπιμελεῖς ὢν 1
that and those aspiring-to the fine-things careful of-what
ὀρέγοιντο ποιῶν ὠφέλει, νῦν τοῦτο διηγήσομαι. ἀκούσας γάρ
they-aspired-to making he-benefited now this I-shall-relate having-heard for
ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν ἐπαγγελλόμενον
once Dionysodorus to the city to-have-come professing
στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν συνόντων, ὃν
to-be-general to-teach he-spoke to one of-the associates whom
ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυχεῖν·
he-perceived wishing of-the honor this in the city to-obtain
Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει 2
shameful surely O young-man the one-wishing in the city
στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ
to-be-general it-being-possible this to-learn to-neglect it and
δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ
justly — this-man by the city would-be-punished much
μᾶλλον ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη μὴ μεμαθηκὼς
more than if someone statues should-contract-for not having-learned
ἀνδριαντοποιεῖν.
to-make-statues

3 ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμικοῖς κινδύνοις
whole for the city in the of-war dangers
ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα τά τε ἀγαθὰ
being-entrusted to-the general great the both good-things
κατορθοῦντος αὐτοῦ καὶ τὰ κακὰ διαμαρτάνοντος εἰκὸς
succeeding him and the evils failing likely
γίγνεσθαι. πῶς οὖν οὐκ ἂν δικαίως ὁ τοῦ μὲν μανθάνειν
to-come-about how then not — justly the-one the indeed to-learn
τοῦτο ἀμελῶν, τοῦ δὲ αἱρεθῆναι ἐπιμελόμενος ζημιοῖτο;
this neglecting the but to-be-chosen caring-for would-be-punished
τοιαῦτα μὲν δὴ λέγων ἔπεισεν αὐτὸν ἐλθόντα μανθάνειν.
such-things indeed truly saying he-persuaded him having-gone to-learn
4 ἐπεὶ δὲ μεμαθηκὼς ἦκε, προσέπαιζεν αὐτῷ λέγων· Οὐ
when and having-learned he-came he-joked-with him saying not
δοκεῖ ὑμῖν, ὦ ἄνδρες, ὥσπερ Ὅμηρος τὸν Ἀγαμέμνονα
does-it-seem to-you O men as Homer — Agamemnon
γεραρὸν ἔφη εἶναι, οὕτω καὶ ὅδε στρατηγεῖν μαθὼν
majestic said to-be so also this-man to-be-general having-learned
γεραρώτερος φαίνεσθαι; καὶ γάρ, ὥσπερ ὁ κιθαρίζειν
more-majestic to-appear and for as he to-play-the-lyre
μαθών, καὶ ἐὰν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι, καὶ ὁ
having-learned even if not he-plays-the-lyre a-lyre-player is and he
μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν, οὕτω
having-learned to-heal even-if not he-practices nevertheless a-doctor is so
καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὤν, κἂν
also this-man from this — time continues general being even-if
μηδεὶς αὐτὸν ἕληται. ὁ δὲ μὴ ἐπιστάμενος οὔτε στρατηγὸς
no-one him chooses he but not knowing-how neither general
οὔτε ἰατρός ἐστιν, οὐδ' ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ.
nor doctor is not-even if by all men he-be-chosen

ἀτάρ, ἔφη, ἵνα καί, ἐὰν ἡμῶν τις ἢ ταξιαρχῇ 5
but he-said so-that also if of-us any either commands-a-regiment
ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν
or commands-a-company for-you more-knowing of-the matters-of-war
ὦμεν, λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν
we-may-be tell us from-where he-began you to-teach the
στρατηγίαν. καὶ ὅς· Ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ
generalship and he from the same he-said into which also
ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλ᾽ οὐδὲν ἐδίδαξεν.
he-ended the for tactics me at-least and else nothing he-taught
Ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος 6
but indeed said — Socrates this at-least a-very-small part
ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν
is of-generalship and for capable-of-preparing of-the-things for the
πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ πoριστικὸν τῶν
war the general to-be it-is-needful and capable-of-providing of-the
ἐπιτηδείων τοῖς στρατιώταις καὶ μηχανικὸν καὶ ἐργαστικὸν
necessities for-the soldiers and inventive and hard-working
καὶ ἐπιμελῆ καὶ καρτερικὸν καὶ ἀγχίνουν καὶ φιλόφρονά τε
and careful and enduring and quick-witted and kindly both
καὶ ὠμὸν καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον καὶ φυλακτικόν τε
and cruel and straightforward both and crafty and watchful both
καὶ κλέπτην καὶ προετικὸν καὶ ἅρπαγα καὶ φιλόδωρον καὶ
and a-thief and lavish and grasping and generous and
πλεονέκτην καὶ ἀσφαλῆ καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ
greedy and cautious and aggressive and other many-things both
φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν.
by-nature and by-knowledge it-is-needful the-one well going-to-command to-have
καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι· πολὺ γὰρ διαφέρει 7
fine and also the skilled-in-tactics to-be much for differs
στράτευμα τεταγμένον ἀτάκτου, ὥσπερ λίθοι τε καὶ
an-army drawn-up from-a-disorderly-one as stones both and

πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως μὲν ἐρριμμένα
bricks and timbers and tiles in-disorder indeed thrown-down
οὐδὲν χρήσιμά ἐστιν, ἐπειδὰν δὲ ταχθῇ κάτω μὲν
in-no-way useful are when but they-are-arranged below indeed
καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ
and on-top the-things neither rotting nor dissolving the
τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ
both stones and the tiles in middle and the both bricks and
τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίγνεται
the timbers as in house-building are-put-together then becomes
πολλοῦ ἄξιον κτῆμα, οἰκία.
of-much worth possession a-house

8 Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες,
but very said the young-man like O Socrates
εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους
you-have-spoken and for in the war the both first
ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους, ἐν μέσῳ
best it-is-needful to-station and the last in middle
δὲ τοὺς χειρίστους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ
but the worst so-that by indeed the-ones they-may-be-led by
δὲ τῶν ὠθῶνται.
and the-others they-may-be-pushed

9 Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς
if indeed then he-said also to-distinguish you the good
καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος
and the bad he-taught if but not what for-you use
ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύριον ἐκέλευσε πρῶτον
of-what you-learned not-even for if you money he-bade first
μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, ἐν μέσῳ δὲ
indeed and last the finest to-place in middle and
τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό τε καλὸν καὶ
the worst not having-taught to-distinguish the both fine and

τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. Ἀλλὰ μὰ
the counterfeit no — for-you use would-there-be but by
Δί', ἔφη, οὐκ ἐδίδαξεν· ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι
Zeus he-said not he-taught so-that ourselves — us it-would-be-needful
τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν.
the both good and the bad to-judge
Τί οὖν οὐ σκοποῦμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ 10
why then not do-we-consider he-said how — of-them not
διαμαρτάνοιμεν; Βούλομαι, ἔφη ὁ νεανίσκος. Οὐκοῦν, ἔφη,
we-might-be-mistaken I-wish said the young-man therefore he-said
εἰ μὲν ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους
if indeed money it-were-needful to-seize the most-avaricious
πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; Ἔμοιγε
first stationing rightly — would-we-dispose to-me-at-least
δοκεῖ. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς
it-seems what and those to-run-risks being-about then the
φιλοτιμοτάτους προτακτέον; Οὗτοι γοῦν εἰσιν, ἔφη, οἱ
most-ambitious must-be-put-in-front these at-any-rate are he-said those
ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε
for-the-sake of-praise to-run-risks willing not then these at-least
ἄδηλοι, ἀλλ' ἐπιφανεῖς πανταχοῦ ὄντες εὐεύρετοι ἂν εἶεν.
obscure but conspicuous everywhere being easy-to-find — would-be
Ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ 11
but he-said whether you to-arrange only he-taught or also
ὅπῃ καὶ ὅπως χρηστέον ἑκάστῃ τῶν τάξεων; Οὐ πάνυ,
where and how must-be-used each of-the formations not very
σοι μεμέληκε καὶ οἶσθα ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί
to-you it-has-been-a-concern and you-know how-many both garrisons well-placed
εἰσι καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι
are and how-many not and how-many both guards sufficient are
καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς
and how-many not are and the indeed well-placed garrisons
συμβουλεύσεις μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν.
you-will-advise larger to-make the and superfluous to-remove

Νὴ Δί᾽, ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά 11
by Zeus said — Glaucon all indeed then I-at-least for-the-sake
γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι ὥστε κλέπτεσθαι
at-least of-the so them to-be-guarded that to-be-stolen
τὰ ἐκ τῆς χώρας. Ἐὰν δέ τις ἀφέλῃ γ᾽, ἔφη, τὰς
the-things from the country if and someone removes at-least he-said the
φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι
garrisons not do-you-think also to-plunder license to-be-going-to-be
τῷ βουλομένῳ; ἀτάρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς
for-the one-wishing but he-said whether having-gone yourself
ἐξήτακας τοῦτο, ἢ πῶς οἶσθα ὅτι κακῶς φυλάττονται;
have-you-examined this or how do-you-know that badly they-are-guarded
Εἰκάζω, ἔφη. Οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι
I-guess he-said therefore he-said also about these-things when no-longer
εἰκάζωμεν, ἀλλ᾽ ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν;
we-guess but now we-know then shall-we-advise
Ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον. Εἴς γε μήν, ἔφη, 12
perhaps said — Glaucon better to at-least indeed he-said
τἀργύρεια οἶδ᾽ ὅτι οὐκ ἀφῖξαι, ὥστ᾽ ἔχειν εἰπεῖν διότι
the-silver-mines I-know that not you-have-gone so-as to-be-able to-say why
νῦν ἐλάττω ἢ πρόσθεν προσέρχεται αὐτόθεν. Οὐ γὰρ
now less than before comes-in from-there not for
οὖν ἐλήλυθα, ἔφη. Καὶ γὰρ νὴ Δί᾽, ἔφη ὁ Σωκράτης,
then I-have-gone he-said and for by Zeus said — Socrates
λέγεται βαρὺ τὸ χωρίον εἶναι, ὥστε, ὅταν περὶ τούτου
is-said unhealthy the place to-be so-that when about this
δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει.
it-be-needful to-advise this for-you the excuse will-suffice
Σκώπτομαι, ἔφη ὁ Γλαύκων.
I-am-being-mocked said — Glaucon

13 Ἀλλ᾽ ἐκείνου γέ τοι, ἔφη, οἶδ᾽ ὅτι οὐκ ἠμέληκας, ἀλλ᾽
but that at-least surely he-said I-know that not you-have-neglected but
ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας
you-have-considered how-much time sufficient is the from the country
γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν
produced grain to-support the city and how-much for the
ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τοῦτό γε λάθῃ σέ ποτε
year it-needs-besides so-that not this at-least escape you ever
ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ᾽ εἰδὼς ἔχῃς ὑπὲρ τῶν
the city in-want having-become but knowing you-may-be-able about the
ἀναγκαίων συμβουλεύων τῇ πόλει βοηθεῖν τε καὶ σώζειν
necessities advising the city to-help both and to-save
αὐτήν. Λέγεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴ
it you-mean said — Glaucon an-enormous matter if
γε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει.
at-least also — of-such-things to-take-care it-will-be-needful

14 Ἀλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, οὐδ᾽ ἂν τὸν ἑαυτοῦ ποτε
but however said — Socrates not-even — — his-own ever
οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν
house well anyone could-manage if not all-things indeed he-will-know which
προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. ἀλλ᾽ ἐπεὶ
it-needs all and taking-care he-will-supply but since
ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε,
the indeed city of more than ten-thousand houses consists
χαλεπὸν δ᾽ ἐστὶν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι,
hard and it-is at-the-same-time so-many households to-take-care-of
πῶς οὐχ ἕνα τὸν τοῦ θείου πρῶτον ἐπειράθης αὐξῆσαι; δέεται
how not one the of-the uncle first did-you-try to-increase it-needs
δέ. κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ
and and-if indeed this you-can also more you-will-undertake one but
μὴ δυνάμενος ὠφελῆσαι πῶς ἂν πολλούς γε δυνηθείης;
not being-able to-benefit how — many at-least could-you

ὥσπερ, εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ
as if someone one talent not could carry how not
φανερὸν ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;
evident that more at-least to-carry not-even must-be-attempted by-him
Ἀλλ' ἔγωγ', ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου 15
but I-at-least said — Glaucon would-benefit — the of-the uncle
οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. Εἶτα, ἔφη ὁ Σωκράτης,
house if me he-would-be-willing to-obey then said — Socrates
τὸν θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ
the uncle not being-able to-persuade Athenians all with
τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι;
the uncle do-you-think to-be-able to-make to-obey you
φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ τοῦ εὐδοξεῖν 16
take-care he-said O Glaucon that not of-the to-be-well-thought-of
ἐπιθυμῶν εἰς τοὐναντίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι
desiring into the-opposite you-come or not you-see how dangerous it-is
τό, ἃ μὴ οἶδέ τις, ταῦτα ἢ λέγειν ἢ πράττειν; ἐνθυμοῦ
the what not knows someone these-things either to-say or to-do consider
δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ
and of-the others as-many-as you-know such as appear both
λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες, πότερά σοι δοκοῦσιν
saying what not they-know and doing whether to-you they-seem
ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν
for — such-things praise rather than blame to-obtain
καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι·
and whether to-be-admired rather than to-be-despised
ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ τι τε λέγουσι καὶ 17
consider and also of-those knowing what ever both they-say and
ὅ τι ποιοῦσι· καί, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν
what ever they-do and as I think you-will-find in all
ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ
works those indeed well-reputed both and admired from

τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς
those most knowing being those but ill-reputed
τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων.
both and despised from the most-ignorant
18 εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ
if then you-desire to-be-well-reputed both and to-be-admired in the
πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι, ἃ
city try to-achieve as most the to-know what
βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενεγκὼν τῶν ἄλλων
you-wish to-do if for in-this having-surpassed the others
ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι
you-undertake the-affairs of-the city to-do not — I-would-wonder
εἰ πάνυ ῥᾳδίως τύχοις ὧν ἐπιθυμεῖς.
if very easily you-obtained what you-desire

VII · CHARMIDES' SHYNESS

Socrates urges the able Charmides to enter public life. Charmides says speaking in the assembly differs from private talk, but Socrates answers that he talks easily with the city's leaders yet fears an assembly of fullers, cobblers, and merchants. He should know himself and not neglect the city's affairs, which he could improve.

1 Χαρμίδην δὲ τὸν Γλαύκωνος ὁρῶν ἀξιόλογον μὲν ἄνδρα
Charmides and the son-of-Glaucon seeing worthy indeed man
ὄντα καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε
being and much more-capable than-those the political-affairs at-that-time
πραττόντων, ὀκνοῦντα δὲ προσιέναι τῷ δήμῳ καὶ τῶν
doing hesitating but to-come-before the people and of-the
τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι· Εἰπέ μοι, ἔφη, ὦ
of-the city affairs to-take-care tell me he-said O
Χαρμίδη, εἴ τις, ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας
Charmides if someone able being the crowned contests

νικᾶν καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι καὶ τὴν
to-win and because-of this himself both to-be-honored and the
πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν μὴ θέλοι
fatherland in — Greece more-glorious to-make not were-willing
ἀγωνίζεσθαι, ποῖόν τινα τοῦτον νομίζοις ἂν τὸν ἄνδρα
to-compete what-sort some this-one would-you-consider — the man
εἶναι; Δῆλον ὅτι, ἔφη, μαλακόν τε καὶ δειλόν.
to-be clear that he-said soft both and cowardly
Εἰ δέ τις, ἔφη, δυνατὸς ὢν τῶν τῆς πόλεως πραγμάτων 2
if and someone he-said able being of-the of-the city affairs
ἐπιμελόμενος τήν τε πόλιν αὔξειν καὶ αὐτὸς διὰ
taking-care the both city to-increase and himself because-of
τοῦτο τιμᾶσθαι, ὀκνοίη δὴ τοῦτο πράττειν, οὐκ ἂν
this to-be-honored should-hesitate indeed this to-do not —
εἰκότως δειλὸς νομίζοιτο; Ἴσως, ἔφη· ἀτὰρ πρὸς τί
reasonably cowardly would-he-be-thought perhaps he-said but to what
με ταῦτ' ἐρωτᾷς; Ὅτι, ἔφη, οἶμαί σε δυνατὸν ὄντα
me these-things do-you-ask because he-said I-think you able being
ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα ὧν ἀνάγκη σοι
to-hesitate to-take-care and these-things of-which necessity for-you
μετέχειν πολίτῃ γε ὄντι.
to-take-part citizen at-least being
Τὴν δὲ ἐμὴν δύναμιν, ἔφη ὁ Χαρμίδης, ἐν ποίῳ 3
— and my ability said — Charmides in what-sort
ἔργῳ καταμαθὼν ταῦτά μου καταγιγνώσκεις; Ἐν ταῖς
work having-observed these-things of-me do-you-condemn in the
συνουσίαις, ἔφη, ἃς σύνει τοῖς τὰ τῆς πόλεως
meetings he-said which you-have-with those the-affairs of-the city
πράττουσι· καὶ γὰρ ὅταν τι ἀνακοινῶνταί σοι, ὁρῶ
doing and for whenever anything they-consult you I-see

σε καλῶς συμβουλεύοντα, καὶ ὅταν τι ἁμαρτάνωσιν,
you well advising and whenever anything they-err
ὀρθῶς ἐπιτιμῶντα.
rightly criticizing

4 Οὐ ταὐτόν ἐστιν, ἔφη, ὦ Σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι
not the-same it-is he-said O Socrates privately both to-converse
καὶ ἐν τῷ πλήθει ἀγωνίζεσθαι. Καὶ μήν, ἔφη, ὅ γε
and in the crowd to-contend and indeed he-said he at-least
ἀριθμεῖν δυνάμενος οὐδὲν ἧττον ἐν τῷ πλήθει ἢ μόνος
to-count able no less in the crowd than alone
ἀριθμεῖ, καὶ οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες οὗτοι
counts and those by themselves best playing-the-lyre these
καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν.
also in the crowd excel

5 Αἰδῶ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυτά τε ἀνθρώποις
shame and and fear he-said not you-see innate both in-men
ὄντα καὶ πολλῷ μᾶλλον ἐν τοῖς ὄχλοις ἢ ἐν ταῖς
being and much more in the crowds than in the
ἰδίαις ὁμιλίαις παριστάμενα; Καὶ σέ γε διδάξων, ἔφη,
private meetings present and you at-least to-teach he-said
ὥρμημαι, ὅτι οὔτε τοὺς φρονιμωτάτους αἰδούμενος οὔτε
I-have-set-out that neither the most-sensible feeling-shame-before nor
τοὺς ἰσχυροτάτους φοβούμενος ἐν τοῖς ἀφρονεστάτοις
the strongest fearing among the most-senseless
τε καὶ ἀσθενεστάτοις αἰσχύνει λέγειν.
both and weakest you-are-ashamed to-speak

6 πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν ἢ τοὺς σκυτεῖς ἢ τοὺς
whether for the fullers of-them or the cobblers or the
τέκτονας ἢ τοὺς χαλκεῖς ἢ τοὺς γεωργοὺς ἢ τοὺς ἐμπόρους
carpenters or the smiths or the farmers or the merchants
ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους καὶ φροντίζοντας ὅ
or those in the market exchanging and thinking-about what

τι ἐλάττονος πριάμενοι πλείονος ἀποδῶνται αἰσχύνει;
ever for-less having-bought for-more they-may-sell are-you-ashamed-before
ἐκ γὰρ τούτων ἁπάντων ἡ ἐκκλησία συνίσταται.
from for these all the assembly is-composed
τί δὲ οἴει διαφέρειν ὃ σὺ ποιεῖς ἢ τῶν ἀσκητῶν 7
what and do-you-think to-differ what you do from than-the athletes
ὄντα κρείττω τοὺς ἰδιώτας φοβεῖσθαι; σὺ γὰρ τοῖς
being stronger the laymen to-fear you for with-those
πρωτεύουσιν ἐν τῇ πόλει, ὧν ἔνιοι καταφρονοῦσί σου,
being-first in the city of-whom some despise you
ῥᾳδίως διαλεγόμενος καὶ τῶν ἐπιμελομένων τοῦ τῇ
easily conversing and than-those taking-care of-the to-the
πόλει διαλέγεσθαι πολὺ περιών, ἐν τοῖς μηδεπώποτε
city to-converse far surpassing among those never
φροντίσασι τῶν πολιτικῶν μηδὲ σοῦ καταπεφρονηκόσιν
having-thought of-the political-affairs nor you having-despised
ὀκνεῖς λέγειν, δεδιὼς μὴ καταγελασθῇς.
you-hesitate to-speak fearing lest you-be-laughed-at
Τί δ'; ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ 8
what and he-said not seem to-you often those in the assembly
τῶν ὀρθῶς λεγόντων καταγελᾶν; Καὶ γὰρ οἱ ἕτεροι,
those rightly speaking to-laugh-at and for the others
ἔφη· διὸ καὶ θαυμάζω σου εἰ, ἐκείνους, ὅταν τοῦτο
he-said therefore also I-wonder at-you if those whenever this
ποιῶσι, ῥᾳδίως χειρούμενος, τούτοις μηδένα τρόπον οἴει
they-do easily subduing these in-no way you-think
δυνήσεσθαι προσενεχθῆναι.
you-will-be-able to-deal-with
ὠγαθέ, μὴ ἀγνόει σεαυτόν, μηδὲ ἁμάρτανε ἃ οἱ 9
good-sir not be-ignorant-of yourself nor make-the-mistake which the
πλεῖστοι ἁμαρτάνουσιν· οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ
most make the for many having-set-out to

τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα οὐ τρέπονται ἐπὶ
the to-consider the of-the others affairs not turn to
τὸ ἑαυτοὺς ἐξετάζειν. μὴ οὖν ἀπορῥᾳθύμει τούτου, ἀλλὰ
the themselves to-examine not then neglect this but
διατείνου μᾶλλον πρὸς τὸ σαυτῷ προσέχειν. καὶ μὴ ἀμέλει
strain rather to the to-yourself to-attend and not neglect
τῶν τῆς πόλεως, εἴ τι δυνατόν ἐστι διὰ σὲ βέλτιον
the-affairs of-the city if anything possible is through you better
ἔχειν· τούτων γὰρ καλῶς ἐχόντων οὐ μόνον οἱ ἄλλοι πολῖται,
to-be these for well being not only the other citizens
ἀλλὰ καὶ οἱ σοὶ φίλοι καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσει.
but also — your friends and yourself you not least will-be-benefited

VIII · THE GOOD AND THE BEAUTIFUL

Aristippus tries to trap Socrates, asking whether he knows anything good; Socrates answers that good is always good for something. Beautiful things too are beautiful for a use, so a dung basket is beautiful and a golden shield ugly if each does or fails its work. The house most pleasant and useful faces south, high on the sunny side and low on the north, and temples should stand in plain view on untrodden ground.

1 Ἀριστίππου δὲ ἐπιχειροῦντος ἐλέγχειν τὸν Σωκράτη, ὥσπερ
Aristippus and attempting to-refute — Socrates as
αὐτὸς ὑπ᾽ ἐκείνου τὸ πρότερον ἠλέγχετο, βουλόμενος
himself by him the earlier had-been-refuted wishing
τοὺς συνόντας ὠφελεῖν ὁ Σωκράτης ἀπεκρίνατο οὐχ
the associates to-benefit — Socrates answered not
ὥσπερ οἱ φυλαττόμενοι μή πῃ ὁ λόγος ἐπαλλαχθῇ,
like those guarding-themselves lest somewhere the argument be-reversed
ἀλλ᾽ ὡς ἂν πεπεισμένος μάλιστα πράττειν τὰ δέοντα.
but as — persuaded most to-do the needful-things

ὁ μὲν γὰρ αὐτὸν ἤρετο, εἴ τι εἰδείη ἀγαθόν, ἵνα, εἴ τι 2
he indeed for him asked if anything he-knew good so-that if anything
εἴποι τῶν τοιούτων, οἷον ἢ σιτίον ἢ ποτὸν ἢ χρήματα ἢ
he-said — of-such-things as either food or drink or money or
ὑγίειαν ἢ ῥώμην ἢ τόλμαν, δεικνύοι δὴ τοῦτο κακὸν ἐνίοτε
health or strength or daring he-might-show indeed this bad sometimes
ὄν. ὁ δὲ εἰδώς, ὅτι, ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ
being he but knowing that if anything troubles us we-need the
παύσοντος, ἀπεκρίνατο ᾗπερ καὶ ποιεῖν κράτιστον·
(thing)-going-to-stop-it answered in-the-way-that also to-do best
Ἆρά γε, ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ 3
then at-least he-said are-you-asking me if anything I-know of-fever
ἀγαθόν; Οὐκ ἔγωγ', ἔφη. Ἀλλ' ὀφθαλμίας; Οὐδὲ τοῦτο.
good not I-at-least he-said but of-ophthalmia not-even this
Ἀλλὰ λιμοῦ; Οὐδὲ λιμοῦ. Ἀλλὰ μήν, ἔφη, εἴ γ' ἐρωτᾷς
but of-hunger not-even of-hunger but indeed he-said if at-least you-ask
με, εἴ τι ἀγαθὸν οἶδα ὃ μηδενὸς ἀγαθόν ἐστιν,
me if anything good I-know which for-nothing good is
οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι.
neither do-I-know he-said nor do-I-need
Πάλιν δὲ τοῦ Ἀριστίππου ἐρωτῶντος αὐτόν, εἴ τι 4
again and — Aristippus asking him if anything
εἰδείη καλόν· Καὶ πολλά, ἔφη. Ἆρ' οὖν, ἔφη, πάντα ὅμοια
he-knew beautiful even many he-said so then he-said all like
ἀλλήλοις; Ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια.
to-one-another as possible — indeed then he-said most-unlike some
Πῶς οὖν, ἔφη, τὸ τῷ καλῷ ἀνόμοιον καλὸν ἂν εἴη;
how then he-said the to-the beautiful unlike beautiful — would-be
Ὅτι νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς δρόμον
because by Zeus he-said there-is indeed to-the beautiful for running
ἀνθρώπῳ ἄλλος ἀνόμοιος καλὸς πρὸς πάλην, ἔστι δὲ
man another unlike beautiful for wrestling there-is and

ἀσπὶς καλὴ πρὸς τὸ προβάλλεσθαι ὡς ἔνι ἀνομοιοτάτη
a-shield beautiful for the to-protect as possible most-unlike
τῷ ἀκοντίῳ, καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι.
to-the javelin beautiful for the hard both and fast to-be-thrown
5 Οὐδὲν διαφερόντως, ἔφη, ἀποκρίνει μοι ἢ ὅτε σε
in-no-way differently he-said you-answer me than when you
ἠρώτησα εἴ τι ἀγαθὸν εἰδείης. Σὺ δ' οἴει, ἔφη,
I-asked if anything good you-knew you and do-you-think he-said
ἄλλο μὲν ἀγαθόν, ἄλλο δὲ καλὸν εἶναι; οὐκ οἶσθ' ὅτι
other indeed good other but beautiful to-be not do-you-know that
πρὸς ταὐτὰ πάντα καλά τε κἀγαθά ἐστι; πρῶτον
with-respect-to the-same-things all fine both and-good are first
μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθόν,
indeed for the virtue not with-respect-to some-things indeed good
πρὸς ἄλλα δὲ καλόν ἐστιν, ἔπειτα οἱ ἄνθρωποι τὸ
with-respect-to others but fine is then the men the
αὐτό τε καὶ πρὸς τὰ αὐτὰ καλοί τε κἀγαθοὶ
same both and with-respect-to the same-things fine both and-good
λέγονται, πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα τῶν
are-called with-respect-to the same and also the bodies of-the
ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται, πρὸς ταὐτὰ
men fine both and-good appear with-respect-to the-same-things
δὲ καὶ τἆλλα πάντα οἷς ἄνθρωποι χρῶνται καλά
and also the-other-things all which men use fine
τε κἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ.
both and-good are-thought with-respect-to which — useful they-be
6 Ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστι; Νὴ Δί',
so then he-said also a-basket dung-carrying beautiful is by Zeus
ἔφη, καὶ χρυσῆ γε ἀσπὶς αἰσχρόν, ἐὰν πρὸς τὰ ἑαυτῶν
he-said and golden at-least a-shield ugly if for — their-own

ἔργα ὁ μὲν καλῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς.
works the-one indeed well made be the-other but badly
Λέγεις σύ, ἔφη, καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι;
do-you-mean you he-said beautiful both and ugly the same-things to-be
Καὶ νὴ Δί᾽ ἔγωγ᾽, ἔφη, ἀγαθά τε καὶ κακά· πολλάκις γὰρ 7
and by Zeus I-at-least he-said good both and bad often for
τό τε λιμοῦ ἀγαθὸν πυρετοῦ κακόν ἐστι καὶ τὸ πυρετοῦ
the both for-hunger good for-fever bad is and the for-fever
ἀγαθὸν λιμοῦ κακόν ἐστι· πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον
good for-hunger bad is often and the indeed for running
καλὸν πρὸς πάλην αἰσχρόν, τὸ δὲ πρὸς πάλην καλὸν πρὸς
beautiful for wrestling ugly the but for wrestling beautiful for
δρόμον αἰσχρόν· πάντα γὰρ ἀγαθὰ μὲν καὶ καλά ἐστι πρὸς
running ugly all for good indeed and beautiful are for
ἃ ἂν εὖ ἔχῃ, κακὰ δὲ καὶ αἰσχρὰ πρὸς ἃ ἂν κακῶς.
which — well they-are bad and and ugly for which — badly
Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ 8
and houses and saying the same beautiful both to-be and
χρησίμους παιδεύειν ἔμοιγ᾽ ἐδόκει, οἵας χρή,
useful to-teach to-me-at-least he-seemed what-sort it-is-needful
οἰκοδομεῖσθαι. ἐπεσκόπει δὲ ὧδε· Ἆρά γε τὸν μέλλοντα
to-be-built he-considered and thus then at-least the-one being-about
οἰκίαν, οἵαν χρή, ἔχειν τοῦτο δεῖ μηχανᾶσθαι,
a-house such-as it-is-needful to-have this it-is-needful to-contrive
ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται;
that most-pleasant both to-live-in and most-useful it-will-be
τούτου δὲ ὁμολογουμένου· Οὐκοῦν ἡδὺ μὲν θέρους 9
this and being-agreed therefore pleasant indeed in-summer
ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; ἐπειδὴ δὲ
cool to-have pleasant and in-winter warm when and
καὶ τοῦτο συμφαῖεν· Οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν
also this they-agreed therefore in the toward south

βλεπούσαις οἰκίαις τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς
facing houses in-the indeed winter the sun into the
παστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν
porticoes shines-in in-the and summer over us ourselves
καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. οὐκοῦν,
and the roofs traveling shade provides therefore
εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν
if at-least well is these-things so to-happen to-build
δεῖ ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ
it-is-needful higher indeed the-parts toward south so-that the
χειμερινὸς ἥλιος μὴ ἀποκλείηται, χθαμαλώτερα δὲ τὰ
winter sun not be-shut-out lower and the-parts
πρὸς ἄρκτον, ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν ἄνεμοι·
toward north so-that the cold not fall-on winds
10 ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν
as and for-one-summing-up to-say whither in-all seasons himself both —
ἥδιστα καταφεύγοι καὶ τὰ ὄντα ἀσφαλέστατα τιθοῖτο,
most-pleasantly might-retreat and the possessions most-safely might-store
αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις
this — reasonably most-pleasant both and finest dwelling
εἴη· γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας
would-be paintings and and decorations more delights
ἀποστεροῦσιν ἢ παρέχουσι. — ναοῖς γε μὴν
take-away than provide for-temples at-least moreover
καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην ἥτις
and altars site be-said to-be most-fitting which
ἐμφανεστάτη οὖσα ἀστιβεστάτη εἴη· ἡδὺ μὲν γὰρ
most-conspicuous being most-untrodden should-be pleasant indeed for
ἰδόντας προσεύξασθαι, ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι.
having-seen to-pray pleasant and purely being to-approach

Asked whether courage is taught, Socrates answers that nature varies but practice improves it. Wisdom and temperance are one, and justice and every virtue are wisdom. Madness is the opposite of wisdom; ignorance is not madness, but not knowing oneself comes nearest to madness. Envy is pain at friends' success; men at play are at leisure, since they are free to turn to better things. True rulers are those who know how to rule, and the best pursuit is doing well, not good luck.

Πάλιν δὲ ἐρωτώμενος ἡ ἀνδρεία πότερον εἴη διδακτὸν 1
again and being-asked the courage whether it-was teachable
ἢ φυσικόν· Οἶμαι μέν, ἔφη, ὥσπερ σῶμα σώματος
or natural I-think indeed he-said as body than-body
ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴν
stronger for the toils grows so also soul
ψυχῆς ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι·
than-soul more-robust for the dangers by-nature to-become
ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους
I-see for in the same laws both and customs reared
πολὺ διαφέροντας ἀλλήλων τόλμῃ.
much differing from-one-another in-daring
νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς 2
I-think however every nature by-learning and practice toward
ἀνδρείαν αὔξεσθαι· δῆλον μὲν γὰρ ὅτι Σκύθαι καὶ
courage to-be-increased clear indeed for that Scythians and
Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες
Thracians not — would-dare shields and spears having-taken
Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δ' ὅτι Λακεδαιμόνιοι
with-Lacedaemonians to-fight evident and that Lacedaemonians
οὔτ' ἂν Θρᾳξὶ πέλταις καὶ ἀκοντίοις οὔτε Σκύθαις
neither — with-Thracians with-light-shields and javelins nor with-Scythians
τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι.
with-bows would-be-willing — to-contend

3 ὁρῶ δ᾽ ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως
I-see and I-at-least also in the other all-things alike
καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους
both by-nature differing from-one-another the men
καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν
and by-care much advancing from and these-things clear
ἐστιν ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ
it-is that all it-is-needful both the better-endowed and
τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι
the duller in-the nature in which-things — notable
βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.
they-wish to-become these-things both to-learn and to-practice
4 Σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τῷ τὰ
wisdom and and temperance not he-distinguished but by-the the
μὲν καλά τε κἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς καὶ τῷ
indeed fine both and-good knowing to-use them and by-the
τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι σοφόν τε καὶ σώφρονα
the shameful-things knowing to-beware-of wise both and temperate
ἔκρινε. προσερωτώμενος δέ, εἰ τοὺς ἐπισταμένους μὲν
he-judged being-further-asked and if those knowing indeed
ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία σοφούς τε
what it-is-needful to-do doing but the-opposite wise both
καὶ ἀκρατεῖς εἶναι νομίζοι· Οὐδέν γε μᾶλλον, ἔφη, ἢ
and uncontrolled to-be he-thought in-no-way at-least more he-said than
ἀσόφους τε καὶ ἀκρατεῖς· πάντας γὰρ οἶμαι προαιρουμένους
unwise both and uncontrolled all for I-think choosing
ἐκ τῶν ἐνδεχομένων, ἃ οἴονται συμφορώτατα αὐτοῖς
from the possible-things what they-think most-advantageous for-themselves
εἶναι, ταῦτα πράττειν· νομίζω οὖν τοὺς μὴ ὀρθῶς
to-be these-things to-do I-consider then those not rightly
πράττοντας οὔτε σοφοὺς οὔτε σώφρονας εἶναι.
doing neither wise nor temperate to-be

ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν 5
he-said and also the justice and the other all virtue
σοφίαν εἶναι. τά τε γὰρ δίκαια καὶ πάντα ὅσα ἀρετῇ
wisdom to-be the both for just-things and all as-many-as by-virtue
πράττεται καλά τε κἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα
are-done fine both and-good to-be and neither would those these-things
εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι οὔτε τοὺς μὴ
knowing other instead-of these anything to-choose nor those not
ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν,
knowing to-be-able to-do but even if they-attempt
ἁμαρτάνειν· οὕτω [καὶ] τὰ καλά τε κἀγαθὰ τοὺς μὲν
to-err so also the fine both and-good-things the indeed
σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ
wise to-do the but not wise not to-be-able but even
ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. ἐπεὶ οὖν τά τε δίκαια καὶ τἆλλα
if they-attempt to-err since then the both just-things and the-other
καλά τε κἀγαθὰ πάντα † ἀρετῇ πράττεται, δῆλον
fine both and-good-things all (corrupt) by-virtue are-done clear
εἶναι ὅτι καὶ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ σοφία ἐστί.
to-be that both justice and the other all virtue wisdom is
μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ, οὐ μέντοι 6
madness at-least however opposite indeed he-said to-be to-wisdom not however
γε τὴν ἀνεπιστημοσύνην μανίαν ἐνόμιζε· τὸ δὲ ἀγνοεῖν
at-least the ignorance madness he-thought the but to-be-ignorant-of
ἑαυτὸν καί, ἃ μὴ οἶδε, δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν
oneself and what not one-knows to-suppose both and to-think to-know
ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. τοὺς μέντοι πολλοὺς
nearest to-madness he-reckoned to-be the however many
ἔφη, ἃ μὲν οἱ πλεῖστοι ἀγνοοῦσι, τοὺς διημαρτηκότας
he-said what indeed the most are-ignorant-of those having-erred

τούτων οὐ φάσκειν μαίνεσθαι, τοὺς δὲ διημαρτηκότας
in-these not to-say to-be-mad those but having-erred
ὧν οἱ πολλοὶ γιγνώσκουσι μαινομένους καλεῖν·
in-what the many know mad to-call
7 ἐάν τε γάρ τις μέγας οὕτως οἴηται εἶναι ὥστε κύπτειν
if both for someone tall so think to-be as to-stoop-at
τὰς πύλας τοῦ τείχους διεξιών, ἐάν τε οὕτως ἰσχυρὸς ὥστ'
the gates of-the wall passing-through if both so strong as
ἐπιχειρεῖν οἰκίας αἴρεσθαι ἢ ἄλλῳ τῳ ἐπιθέσθαι τῶν πᾶσι
to-attempt houses to-lift or other any to-undertake of-the-things to-all
δήλων ὅτι ἀδύνατά ἐστι, τοῦτον μαίνεσθαι φάσκειν· [τοὺς
clear that impossible are this-one to-be-mad to-say those
δὲ μικρὸν διαμαρτάνοντας οὐ δοκεῖν τοῖς πολλοῖς μαίνεσθαι,
but slightly erring not to-seem to-the many to-be-mad
ἀλλ', ὥσπερ τὴν ἰσχυρὰν ἐπιθυμίαν ἔρωτα καλοῦσιν, οὕτω
but as the strong desire love they-call so
καὶ τὴν μεγάλην παράνοιαν μανίαν αὐτοὺς καλεῖν].
also the great derangement madness them to-call
8 Φθόνον δὲ σκοπῶν, ὅ τι εἴη, λύπην μέν τινα
envy and considering what ever it-might-be a-pain indeed some
ἐξηύρισκεν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων
be-found it being not however the at friends'
ἀτυχίαις οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην, ἀλλὰ
misfortunes nor the at enemies' good-fortunes arising but
μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις
alone he-said to-envy those at the of-the friends successes
ἀνιωμένους. θαυμαζόντων δέ τινων εἴ τις φιλῶν τινα ἐπὶ
being-vexed wondering but some if anyone loving someone at
τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνῃσκεν, ὅτι πολλοὶ
the success of-him should-be-pained he-reminded-them that many
οὕτω πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν πράττοντας μὴ
so toward some are-disposed that badly indeed faring not

δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων
to-be-able to-overlook but to-help them-in-misfortune fortunate
δὲ λυπεῖσθαι. τοῦτο μέντοι φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν
but to-be-pained this however for-a-sensible indeed man not —
συμβῆναι, τοὺς ἠλιθίους δὲ ἀεὶ πάσχειν αὐτό.
would-happen the foolish but always to-suffer it
Σχολὴν δὲ σκοπῶν, τί εἴη, ποιοῦντας μέν τι 9
leisure and considering what it-might-be doing indeed something
τοὺς πλείστους εὑρίσκειν ἔφη· καὶ γὰρ τοὺς πεττεύοντας
the most to-find he-said and for the checkers-players
καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι· πάντας δὲ τούτους
and the buffoons to-do something all but these
ἔφη σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς ἰέναι πράξοντας τὰ
he-said to-be-at-leisure to-be-possible for for-them to-go to-do the
βελτίω τούτων. ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω
better-things than-these from however the better to the worse
ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας
to-go no-one to-be-at-leisure if and someone went this-one no-leisure
αὐτῷ οὔσης κακῶς ἔφη τοῦτο πράττειν.
for-him being badly he-said this to-do
Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας 10
kings and and rulers not those the scepters holding
ἔφη εἶναι οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας οὐδὲ
he-said to-be nor those by the chance-comers chosen nor
τοὺς κλήρῳ λαχόντας οὐδὲ τοὺς βιασαμένους οὐδὲ τοὺς
those by-lot having-obtained nor those having-used-force nor those
ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.
having-deceived but those knowing-how to-rule
ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ 11
whenever for someone agreed of-the indeed ruler to-be the
προστάττειν ὅ τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ
to-prescribe what ever it-is-needful to-do of-the but ruled the

πείθεσθαι, ἐπεδείκνυεν ἔν τε νηὶ τὸν μὲν ἐπιστάμενον
to-obey he-showed in both a-ship the indeed knowing
ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ
ruling the and owner and the others the in the
νηὶ πάντας πειθομένους τῷ ἐπισταμένῳ, καὶ ἐν γεωργίᾳ
ship all obeying the one-knowing and in farming
τοὺς κεκτημένους ἀγρούς, καὶ ἐν νόσῳ τοὺς νοσοῦντας,
those possessing fields and in sickness those being-sick
καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας, καὶ τοὺς ἄλλους
and in body-training those training-the-body and the others
πάντας οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν
all for-whom there-is anything care needing if
μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι ἐπιμελεῖσθαι—· εἰ δὲ μή,
indeed themselves they-think to-know to-take-care if but not
τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ
those knowing not only present obeying but
καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι
also absent sending-for so-that those obeying
τὰ δέοντα πράττωσιν· ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας
the needful-things they-may-do in and wool-spinning also the women
ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν διὰ τὸ τὰς μὲν
he-showed ruling the men because-of the the indeed
εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι.
to-know how it-is-needful to-spin-wool the but not to-know

12 εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι
if and someone to these-things said that for-the tyrant it-is-possible
μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι· Καὶ πῶς ἄν, ἔφη,
not to-obey those rightly speaking and how — he-said
ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας, ἐάν
would-it-be-possible not to-obey lying-upon at-least a-penalty if
τις τῷ εὖ λέγοντι μὴ πείθηται; ἐν ᾧ γὰρ ἄν τις
someone the-one well speaking not obey in what for — someone

πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται
matter not obeys the-one well speaking he-will-err
δήπου, ἁμαρτάνων δὲ ζημιωθήσεται.
surely erring and he-will-be-punished
εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι 13
if and should-say someone for-the tyrant to-be-possible even to-kill
τὸν εὖ φρονοῦντα· Τὸν δὲ ἀποκτείναντα, ἔφη, τοὺς
the-one well thinking the-one and having-killed he-said the
κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι ἢ ὡς
best of-the allies do-you-think unpunished to-be or as
ἔτυχε ζημιοῦσθαι; πότερα γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι
it-chanced to-be-punished which-of-two for — rather do-you-think to-be-saved
τὸν τοῦτο ποιοῦντα ἢ οὕτω καὶ τάχιστ᾽ ἂν ἀπολέσθαι;
the-one this doing or so even most-quickly — to-perish
Ἐρομένου δέ τινος αὐτόν, τί δοκοίη αὐτῷ κράτιστον 14
having-asked and someone him what seemed to-him best
ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο εὐπραξίαν. ἐρομένου
for-a-man pursuit to-be he-answered doing-well having-asked
δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι·
and again if also the good-luck a-pursuit he-thought to-be
Πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ᾽, ἔφη, τύχην καὶ πρᾶξιν
quite indeed then the-opposite I-at-least he-said luck and doing
ἡγοῦμαι· τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν
I-consider the indeed for not seeking to-hit-upon some of-the
δεόντων εὐτυχίαν οἶμαι εἶναι, τὸ δὲ μαθόντα τε καὶ
needful-things good-luck I-think to-be the but having-learned both and
μελετήσαντά τι εὖ ποιεῖν εὐπραξίαν νομίζω, καὶ οἱ
having-practiced something well to-do doing-well I-consider and those
τοῦτο ἐπιτηδεύοντες δοκοῦσί μοι εὖ πράττειν.
this pursuing seem to-me well to-do

15 καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι ἐν μὲν
and best and and dearest-to-the-gods he-said to-be in indeed
γεωργίᾳ τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δ' ἰατρείᾳ
farming those the farming-things well doing in and medicine
τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ τοὺς τὰ πολιτικά· τὸν
those the medical-things in and statecraft those the political-things the
δὲ μηδὲν εὖ πράττοντα οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι
but nothing well doing neither useful at-all he-said to-be
οὔτε θεοφιλῆ.
nor dear-to-the-gods

X · PAINTER, SCULPTOR, AND ARMORER

Socrates talks with craftsmen. With the painter Parrhasius he agrees that painting can show character through the face and posture. He asks the sculptor Cleiton how he makes his statues seem alive and agrees that the soul's work should show in the form. The armorer Pistias says his breastplates sell dear because they fit, and Socrates shows that fit means not chafing in use.

1 Ἀλλὰ μὴν καὶ εἴ ποτε τῶν τὰς τέχνας ἐχόντων καὶ
but indeed also if ever of-those the arts having and
ἐργασίας ἕνεκα χρωμένων αὐταῖς διαλέγοιτό τινι,
of-work for-the-sake using them he-conversed-with someone
καὶ τούτοις ὠφέλιμος ἦν. εἰσελθὼν μὲν γάρ ποτε
also to-these useful he-was having-gone-in indeed for once
πρὸς Παρράσιον τὸν ζωγράφον καὶ διαλεγόμενος αὐτῷ·
to Parrhasius the painter and conversing with-him
Ἆρα, ἔφη, ὦ Παρράσιε, ἡ γραφικὴ ἐστιν εἰκασία τῶν
then he-said O Parrhasius the painting is a-likeness of-the
ὁρωμένων; τὰ γοῦν κοῖλα καὶ τὰ ὑψηλὰ καὶ τὰ
things-seen the at-any-rate hollow and the high and the

σκοτεινὰ καὶ τὰ φωτεινὰ καὶ τὰ σκληρὰ καὶ τὰ μαλακὰ
dark and the light and the hard and the soft
καὶ τὰ τραχέα καὶ τὰ λεῖα καὶ τὰ νέα καὶ τὰ παλαιὰ
and the rough and the smooth and the young and the old
σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε.
bodies through the colors representing you-imitate
Ἀληθῆ λέγεις, ἔφη. Καὶ μὴν τά γε καλὰ εἴδη 2
true-things you-say he-said and indeed the at-least beautiful forms
ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν
copying since not easy for-one man to-meet-with
ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες τὰ ἐξ
faultless all-things having from many collecting the-things from
ἑκάστου κάλλιστα οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε
each most-beautiful so whole the bodies beautiful you-make
φαίνεσθαι.
to-appear
Ποιοῦμεν γάρ, ἔφη, οὕτω. Τί γάρ; ἔφη, τὸ πιθανώτατον 3
we-do for he-said so what for he-said the most-persuasive
καὶ ἥδιστον καὶ φιλικώτατον καὶ ποθεινότατον καὶ
and most-pleasant and most-friendly and most-longed-for and
ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ
most-lovable do-you-imitate of-the soul character or not-even
μιμητόν ἐστι τοῦτο; Πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη,
imitable is this how for — he-said imitable would-it-be
ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν μήτε χρῶμα μήτε
O Socrates what neither proportion nor color nor
ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει μηδὲ ὅλως ὁρατόν ἐστιν;
of-what you said just-now anything has nor at-all visible is
Ἆρ' οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως 4
so then he-said arises in a-man the both kindly
καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ,
and the hostilely to-look at some to-me-at-least it-seems

ἔφη. Οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασι; Καὶ
he-said therefore this at-least imitable in the eyes yes
μάλα, ἔφη. Ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς
very he-said at and the of-the friends good-fortunes and the
κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε
misfortunes alike to-you seem to-have the faces those both
φροντίζοντες καὶ οἱ μή; Μὰ Δί᾽ οὐ δῆτα, ἔφη· ἐπὶ μὲν
caring and those not by Zeus not indeed he-said at indeed
γὰρ τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ
for the good-fortunes bright at but the misfortunes gloomy
γίγνονται. Οὐκοῦν, ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν;
they-become therefore he-said also these-things possible to-represent
5 Καὶ μάλα, ἔφη. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε
yes very he-said but indeed also the magnificent both
καὶ ἐλευθέριον καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον καὶ
and liberal and the mean both and illiberal and
τὸ σωφρονικόν τε καὶ φρόνιμον καὶ τὸ ὑβριστικόν τε
the temperate both and prudent and the insolent both
καὶ ἀπειρόκαλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ
and vulgar both through the face and through
τῶν σχημάτων καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων
the postures both standing and moving of-men
διαφαίνει. Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν καὶ ταῦτα μιμητά;
shows-through true-things you-say he-said therefore also these-things imitable
Καὶ μάλα, ἔφη. Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν
yes very he-said whether then he-said do-you-think more-pleasant to-see
τοὺς ἀνθρώπους δι᾽ ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ
the men through whom the fine both and-good and lovable
ἤθη φαίνεται ἢ δι᾽ ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ
characters appear or through whom the shameful both and wicked
καὶ μισητά; Πολὺ νὴ Δί᾽, ἔφη, διαφέρει, ὦ Σώκρατες.
and hateful much by Zeus he-said it-differs O Socrates

Πρὸς δὲ Κλείτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε 6
to and Cleiton the sculptor having-gone-in once
καὶ διαλεγόμενος αὐτῷ· Ὅτι μέν, ἔφη, ὦ Κλείτων,
and conversing with-him that indeed he-said O Cleiton
καλοί, οὓς ποιεῖς δρομεῖς τε καὶ παλαιστὰς καὶ πύκτας
beautiful-are whom you-make runners both and wrestlers and boxers
καὶ παγκρατιαστάς, ὁρῶ τε καὶ οἶδα· ὃ δὲ μάλιστα
and pancratiasts I-see both and know what but most
ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν
charms through the sight the men the lifelike
φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζει τοῖς ἀνδριᾶσιν;
to-appear how this do-you-work-in to-the statues
ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων οὐ ταχὺ ἀπεκρίνατο· 7
when and being-at-a-loss — Cleiton not quickly answered
Ἆρ', ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον
then he-said to-the of-the living forms likening the work
ζωτικωτέρους ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα,
more-lifelike you-make to-appear the statues yes very
ἔφη. Οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων κατασπώμενα
he-said therefore the-parts both by the postures pulled-down
καὶ τἀνασπώμενα ἐν τοῖς σώμασι καὶ τὰ συμπιεζόμενα
and the-parts-pulled-up in the bodies and the-parts compressed
καὶ τὰ διελκόμενα καὶ τὰ ἐντεινόμενα καὶ τὰ
and the-parts drawn-apart and the-parts tensed and the-parts
ἀνιέμενα ἀπεικάζων ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ
relaxed representing more-like both to-the real and
πιθανώτερα ποιεῖς φαίνεσθαι;
more-convincing you-make to-appear
Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων 8
certainly indeed then he-said the and also the feelings of-the doing
τι σωμάτων ἀπομιμεῖσθαι οὐ ποιεῖ τινα τέρψιν
something bodies to-imitate not does-it-produce some delight

τοῖς θεωμένοις; Εἰκὸς γοῦν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν
in-those viewing likely at-any-rate he-said therefore also of-the indeed
μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ
fighting threatening the eyes must-be-represented of-the and
νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; Σφόδρα
victorious rejoicing the look must-be-imitated very
γ', ἔφη. Δεῖ ἄρα, ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς
at-least he-said it-is-needful then he-said the sculptor the of-the
ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.
soul workings to-the form to-liken

9 Πρὸς δὲ Πιστίαν τὸν θωρακοποιὸν εἰσελθών, ἐπιδείξαντος
to and Pistias the armorer having-gone-in having-shown
αὐτοῦ τῷ Σωκράτει θώρακας εὖ εἰργασμένους· Νὴ
he — to-Socrates breastplates well made by
τὴν Ἥραν, ἔφη, καλόν γε, ὦ Πιστία, τὸ εὕρημα τὸ
— Hera he-said fine at-least O Pistias the invention the
τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν
the-parts indeed needing covering of-the man to-cover the
θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι.
breastplate with-the and hands not to-hinder to-use

10 ἀτάρ, ἔφη, λέξον μοι, ὦ Πιστία, διὰ τί οὔτ'
but he-said tell me O Pistias because-of what neither
ἰσχυροτέρους οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν
stronger nor more-costly than-the others making
τοὺς θώρακας πλείονος πωλεῖς; Ὅτι, ἔφη, ὦ Σώκρατες,
the breastplates for-more do-you-sell because he-said O Socrates
εὐρυθμοτέρους ποιῶ. Τὸν δὲ ῥυθμόν, ἔφη, πότερα
better-proportioned I-make-them the and proportion he-said whether
μέτρῳ ἢ σταθμῷ ἀποδεικνύων πλείονος τιμᾷ; οὐ γὰρ
by-measure or by-weight showing for-more do-you-price not for
δὴ ἴσους γε πάντας οὐδὲ ὁμοίους οἶμαί σε ποιεῖν, εἴ
indeed equal at-least all nor alike I-think you to-make if

γε ἁρμόττοντας ποιεῖς. Ἀλλὰ νὴ Δί', ἔφη, ποιῶ·
at-least fitting you-make-them but by Zeus he-said I-make-them
οὐδὲν γὰρ ὄφελός ἐστι θώρακος ἄνευ τούτου.
no for use is of-a-breastplate without this
Οὐκοῦν, ἔφη, σώματά γε ἀνθρώπων τὰ μὲν εὔρυθμά 11
therefore he-said bodies at-least of-men some indeed well-proportioned
ἐστι, τὰ δὲ ἄρρυθμα; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν,
are others but ill-proportioned certainly indeed then he-said how then
ἔφη, τῷ ἀρρύθμῳ σώματι ἁρμόττοντα τὸν θώρακα
he-said for-the ill-proportioned body fitting the breastplate
εὔρυθμον ποιεῖς; Ὥσπερ καὶ ἁρμόττοντα, ἔφη·
well-proportioned do-you-make just-as also fitting he-said
ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος. Δοκεῖς μοι, ἔφη ὁ 12
the fitting-one for is well-proportioned you-seem to-me he-said —
Σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ
Socrates the well-proportioned not by itself to-mean but
πρὸς τὸν χρώμενον, ὥσπερ ἂν εἰ φαίης ἀσπίδα,
with-reference-to the user as — if you-said a-shield
ᾧ ἂν ἁρμόττῃ, τούτῳ εὔρυθμον εἶναι, καὶ χλαμύδα,
for-whom — it-fits for-him well-proportioned to-be and a-cape
καὶ τἆλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ.
and the-other-things likewise it-seems to-be — by-your argument
ἴσως δὲ καὶ ἄλλο τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν 13
perhaps and also other some not small good to-the fitting
πρόσεστι. Δίδαξον, ἔφη, ὦ Σώκρατες, εἴ τι ἔχεις.
is-attached teach-me he-said O Socrates if anything you-have
Ἧττον, ἔφη, τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν
less he-said with-the weight press the fitting-ones than-the
ἀναρμόστων τὸν αὐτὸν σταθμὸν ἔχοντες. οἱ μὲν γὰρ
ill-fitting the same weight having those indeed for
ἀνάρμοστοι ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι ἢ καὶ
ill-fitting either wholly from the shoulders hanging or also

ἄλλο τι τοῦ σώματος σφόδρα πιέζοντες δύσφοροι καὶ
other some-part of-the body hard pressing burdensome and
χαλεποὶ γίγνονται· οἱ δὲ ἁρμόττοντες, διειλημμένοι τὸ
troublesome become those but fitting having-distributed the
βάρος τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ
weight partly indeed by the collar-bones and shoulder-straps partly
δ' ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ
and by the shoulders partly and by the chest partly and
ὑπὸ τοῦ νώτου, τὸ δὲ ὑπὸ τῆς γαστρός, ὀλίγου δεῖν
by the back partly and by the belly of-little to-lack
οὐ φορήματι, ἀλλὰ προσθήματι ἐοίκασιν.
not a-burden but an-attachment resemble

14 Εἴρηκας, ἔφη, αὐτὸ δι' ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα
you-have-said he-said it because-of which-very I-at-least — my works
πλείστου ἄξια νομίζω εἶναι· ἔνιοι μέντοι τοὺς ποικίλους καὶ
of-most worth think to-be some however the decorated and
τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. Ἀλλὰ μήν, ἔφη,
the gilded breastplates rather buy but indeed he-said
εἴ γε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακὸν
if at-least because-of these-things not fitting they-buy a-bad-thing
ἔμοιγε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι.
to-me-at-least they-seem decorated both and gilded to-buy

15 ἀτάρ, ἔφη, τοῦ σώματος μὴ μένοντος, ἀλλὰ τοτὲ μὲν
but he-said the body not staying-still but at-one-time indeed
κυρτουμένου, τοτὲ δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς
bending at-another and straightening how — exact
θώρακες ἁρμόττοιεν; Οὐδαμῶς, ἔφη. Λέγεις, ἔφη, ἁρμόττειν
breastplates would-fit in-no-way he-said you-mean he-said to-fit
οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ.
not the exact-ones but those not chafing in the use

Αὐτός, ἔφη, τοῦτο λέγεις, ὦ Σώκρατες, καὶ πάνυ ὀρθῶς
yourself he-said this you-say O Socrates and very rightly
ἀποδέχει.
you-accept-it

XI · THEODOTE

Socrates and his companions visit Theodote, a beautiful courtesan, as she poses for a painter. He asks how she lives and learns that friends support her. Friends, he says, must be hunted with skill, like hares; her nets are her body and soul, and she should win friends by kindness and by making them hungry for her favors. She asks him to join her hunt, and he jokes that his own girlfriends keep him busy.

Γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς, ᾗ ὄνομα ἦν 1
woman and once being in the city beautiful whose name was
Θεοδότη, καὶ οἵας συνεῖναι τῷ πείθοντι, μνησθέντος
Theodote and such-as to-keep-company-with the one-persuading having-mentioned
αὐτῆς τῶν παρόντων τινὸς καὶ εἰπόντος, ὅτι κρεῖττον εἴη
her of-those present someone and having-said that greater was
λόγου τὸ κάλλος τῆς γυναικός, καὶ ζωγράφους φήσαντος
than-words the beauty of-the woman and painters having-said
εἰσιέναι πρὸς αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην
to-go-in to her to-portray-her to-whom she
ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι· Ἰτέον ἂν εἴη
to-show of-herself as-much-as finely is must-go — it-would-be
θεασομένους, ἔφη ὁ Σωκράτης· οὐ γὰρ δὴ ἀκούσασί
to-view said — Socrates not for indeed having-heard
γε τὸ λόγου κρεῖττον ἔστι καταμαθεῖν. καὶ ὁ
at-least the-thing than-words greater it-is-possible to-learn and he
διηγησάμενος· Οὐκ ἂν φθάνοιτ', ἔφη, ἀκολουθοῦντες.
having-related not — you-could-be-too-quick he-said following

2 οὕτω μὲν δὴ πορευθέντες πρὸς τὴν Θεοδότην καὶ
so indeed truly having-gone to — Theodote and
καταλαβόντες ζωγράφῳ τινὶ παρεστηκυῖαν ἐθεάσαντο.
having-found to-a-painter some standing-by they-viewed
παυσαμένου δὲ τοῦ ζωγράφου· Ὦ ἄνδρες, ἔφη ὁ Σωκράτης,
having-stopped and the painter O men said — Socrates
πότερον ἡμᾶς δεῖ μᾶλλον Θεοδότῃ χάριν ἔχειν, ὅτι
whether us it-is-needful rather to-Theodote gratitude to-have because
ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν, ἢ ταύτην ἡμῖν, ὅτι
to-us the beauty of-herself she-showed or her to-us because
ἐθεασάμεθα; ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις,
we-viewed then if indeed to-her more-beneficial is the display
ταύτην ἡμῖν χάριν ἑκτέον, εἰ δὲ ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ;
her to-us gratitude must-have if but to-us the sight us to-her
3 εἰπόντος δέ τινος ὅτι δίκαια λέγοι· Οὐκοῦν, ἔφη, αὕτη
having-said and someone that just-things he-said therefore he-said she
μὲν ἤδη τε τὸν παρ' ἡμῶν ἔπαινον κερδαίνει καί, ἐπειδὰν
indeed already both the from us praise gains and when
εἰς πλείους διαγγείλωμεν, πλείω ὠφελήσεται· ἡμεῖς δὲ
to more we-report more she-will-be-benefited we but
ἤδη τε ὧν ἐθεασάμεθα ἐπιθυμοῦμεν ἅψασθαι καὶ ἄπιμεν
already both what we-viewed desire to-touch and we-go-away
ὑποκνιζόμενοι καὶ ἀπελθόντες ποθήσομεν. ἐκ δὲ τούτων
tickled and having-gone-away we-shall-long from and these-things
εἰκὸς ἡμᾶς μὲν θεραπεύειν, ταύτην δὲ θεραπεύεσθαι. καὶ
likely us indeed to-court her but to-be-courted and
ἡ Θεοδότη· Νὴ Δί', ἔφη, εἰ τοίνυν ταῦθ' οὕτως ἔχει,
— Theodote by Zeus she-said if then these-things so are
ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν.
me — it-would-be-needful to-you for-the viewing gratitude to-have

ἐκ δὲ τούτου ὁ Σωκράτης ὁρῶν αὐτήν τε πολυτελῶς 4
from and this — Socrates seeing her both expensively
κεκοσμημένην, καὶ μητέρα παροῦσαν αὐτῇ ἐν ἐσθῆτί τε
adorned and a-mother present with-her in dress both
καὶ θεραπείᾳ οὐ τῇ τυχούσῃ, καὶ θεραπαίνας πολλὰς καὶ
and attendance not the ordinary and maidservants many and
εὐειδεῖς καὶ οὐδὲ ταύτας ἠμελημένως ἐχούσας, καὶ τοῖς
good-looking and not-even these neglectedly being and with-the
ἄλλοις τὴν οἰκίαν ἀφθόνως κατεσκευασμένην· Εἰπέ μοι,
other-things the house lavishly furnished tell me
ἔφη, ὦ Θεοδότη, ἔστι σοι ἀγρός; Οὐκ ἔμοιγ', ἔφη.
he-said O Theodote is-there to-you land not to-me-at-least she-said
Ἀλλ' ἄρα οἰκία προσόδους ἔχουσα; Οὐδὲ οἰκία, ἔφη. Ἀλλὰ
but then a-house revenues having not-even a-house she-said but
μὴ χειροτέχναι τινές; Οὐδὲ χειροτέχναι, ἔφη. Πόθεν οὖν,
not craftsmen some not-even craftsmen she-said from-where then
ἔφη, τὰ ἐπιτήδεια ἔχεις; Ἐάν τις, ἔφη, φίλος μοι
he-said the necessities do-you-have if someone she-said a-friend to-me
γενόμενος εὖ ποιεῖν ἐθέλῃ, οὗτός μοι βίος ἐστί.
having-become well to-treat is-willing this to-me livelihood is
Νὴ τὴν Ἥραν, ἔφη, ὦ Θεοδότη, καλόν γε τὸ κτῆμα 5
by — Hera he-said O Theodote fine at-least the possession
καὶ πολλῷ κρεῖττον ἢ οἰῶν τε καὶ αἰγῶν καὶ βοῶν,
and much better than of-sheep both and goats and cattle
φίλων ἀγέλην κεκτῆσθαι. ἀτάρ, ἔφη, πότερον τῇ τύχῃ
of-friends a-herd to-have-acquired but he-said whether to-the chance
ἐπιτρέπεις, ἐάν τίς σοι φίλος ὥσπερ μυῖα πρόσπτηται,
do-you-leave-it if any to-you friend like a-fly flies-up
ἢ καὶ αὐτή τι μηχανᾷ;
or also yourself something do-you-contrive

6 Πῶς δ᾽ ἄν, ἔφη, ἐγὼ τούτου μηχανὴν εὕροιμι; Πολὺ νὴ
how and — she-said I of-this a-contrivance could-find much by
Δί᾽, ἔφη, προσηκόντως μᾶλλον ἢ αἱ φάλαγγες· οἶσθα
Zeus he-said more-fittingly rather than the spiders you-know
γὰρ ὡς ἐκεῖναι θηρῶσι τὰ πρὸς τὸν βίον· ἀράχνια
for how they hunt the-things for the life webs
γὰρ δήπου λεπτὰ ὑφηνάμεναι, ὅ τι ἂν ἐνταῦθα ἐμπέσῃ,
for surely fine having-woven what ever — there falls-in
τούτῳ τροφῇ χρῶνται.
this as-food they-use

7 Καὶ ἐμοὶ οὖν, ἔφη, συμβουλεύεις ὑφήνασθαί τι θήρατρον;
and for-me then she-said do-you-advise to-weave some trap
Οὐ γὰρ δὴ οὕτω γε ἀτέχνως οἴεσθαι χρὴ τὸ
not for indeed so at-least artlessly to-think it-is-needful the
πλείστου ἄξιον ἄγρευμα, φίλους, θηράσειν. οὐχ ὁρᾷς ὅτι καὶ
of-most worth game friends to-hunt not you-see that even
τὸ μικροῦ ἄξιον, τοὺς λαγῶς, θηρῶντες πολλὰ τεχνάζουσιν;
the of-little worth the hares hunting many-tricks they-devise

8 ὅτι μὲν γὰρ τῆς νυκτὸς νέμονται, κύνας νυκτερευτικὰς
because indeed for by-the night they-feed dogs night-hunting
πορισάμενοι, ταύταις αὐτοὺς θηρῶσιν· ὅτι δὲ μεθ᾽
having-provided with-these them they-hunt because and by
ἡμέραν ἀποδιδράσκουσιν, ἄλλας κτῶνται κύνας, αἵτινες,
day they-run-away other they-get dogs which
ᾗ ἂν ἐκ τῆς νομῆς εἰς τὴν εὐνὴν ἀπέλθωσι, τῇ
by-whatever-way — from the pasture to the form they-go-back by-the
ὀσμῇ αἰσθανόμεναι εὑρίσκουσιν αὐτούς· ὅτι δὲ ποδώκεις
scent perceiving find them because and swift-footed
εἰσὶν ὥστε καὶ ἐκ τοῦ φανεροῦ τρέχοντες ἀποφεύγειν,
they-are so-as even from the open running to-escape
ἄλλας αὖ κύνας ταχείας παρασκευάζονται, ἵνα κατὰ
others in-turn dogs swift they-provide so-that on

πόδας ἁλίσκωνται· ὅτι δὲ καὶ ταύτας αὐτῶν τινες
foot they-may-be-caught because and also these of-them some
ἀποφεύγουσι, δίκτυα ἱστᾶσιν εἰς τὰς ἀτραπούς, ᾗ
escape nets they-set in the paths by-which
φεύγουσιν, ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται.
they-flee so-that into these falling they-may-be-entangled
Τίνι οὖν, ἔφη, τοιούτῳ φίλους ἂν ἐγὼ θηρῴην; Ἐὰν 9
with-what then she-said such friends — I could-hunt if
νὴ Δί', ἔφη, ἀντὶ κυνὸς κτήσῃ, ὅστις σοι ἰχνεύων
by Zeus he-said instead-of a-dog you-get one-who for-you tracking
μὲν τοὺς φιλοκάλους καὶ πλουσίους εὑρήσει, εὑρὼν δὲ
indeed the lovers-of-beauty and rich will-find having-found and
μηχανήσεται ὅπως ἐμβάλῃ αὐτοὺς εἰς τὰ σὰ δίκτυα.
will-contrive how he-may-drive them into — your nets
Καὶ ποῖα, ἔφη, ἐγὼ δίκτυα ἔχω; Ἓν μὲν δήπου, ἔφη, καὶ 10
and what-sort she-said I nets have one indeed surely he-said and
μάλα εὖ περιπλεκόμενον, τὸ σῶμα· ἐν δὲ τούτῳ ψυχήν,
very well entwining the body in and this a-soul
ᾗ καταμανθάνεις, καὶ ὡς ἂν ἐμβλέπουσα χαρίζοιο
with-which you-learn both how — by-looking you-might-please
καὶ ὅ τι ἂν λέγουσα εὐφραίνοις, καὶ ὅτι δεῖ τὸν
and what ever — by-saying you-might-cheer and that it-is-needful the
μὲν ἐπιμελόμενον ἀσμένως ὑποδέχεσθαι, τὸν δὲ τρυφῶντα
indeed one-caring gladly to-receive the but one-being-wanton
ἀποκλείειν, καὶ ἀρρωστήσαντός γε φίλου φροντιστικῶς
to-shut-out and having-fallen-ill at-least a-friend anxiously
ἐπισκέψασθαι καὶ καλόν τι πράξαντος σφόδρα
to-visit and fine something having-done greatly
συνησθῆναι καὶ τῷ σφόδρα σοῦ φροντίζοντι ὅλῃ τῇ
to-rejoice-with and the-one greatly for-you caring with-whole the
ψυχῇ κεχαρίσθαι· φιλεῖν γε μὴν εὖ οἶδ' ὅτι ἐπίστασαι
soul to-have-gratified to-love at-least moreover well I-know that you-know-how

οὐ μόνον μαλακῶς, ἀλλὰ καὶ εὐνοϊκῶς· καὶ ὅτι ἀρεστοί
not only softly but also kindly and that pleasing
σοί εἰσιν οἱ φίλοι, οἶδ᾽ ὅτι οὐ λόγῳ ἀλλ᾽ ἔργῳ ἀναπείθεις.
to-you are the friends I-know that not by-word but by-deed you-convince
Μὰ τὸν Δί᾽, ἔφη ἡ Θεοδότη, ἐγὼ τούτων οὐδὲν μηχανῶμαι.
by — Zeus said — Theodote I of-these nothing contrive
11 Καὶ μήν, ἔφη, πολὺ διαφέρει τὸ κατὰ φύσιν τε καὶ
and indeed he-said much it-matters the according-to nature both and
ὀρθῶς ἀνθρώπῳ προσφέρεσθαι. καὶ γὰρ δὴ βίᾳ μὲν
rightly a-man to-approach and for indeed by-force indeed
οὔτ᾽ ἂν ἕλοις οὔτε κατάσχοις φίλον, εὐεργεσίᾳ δὲ καὶ
neither — could-you-catch nor could-you-hold a-friend by-kindness but and
ἡδονῇ τὸ θηρίον τοῦτο ἁλώσιμόν τε καὶ παραμόνιμόν ἐστιν.
pleasure the beast this catchable both and constant is
12 Ἀληθῆ λέγεις, ἔφη. Δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν
true-things you-say she-said it-is-needful then he-said first indeed
τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν, οἷα ποιοῦσιν
the caring-for you such-things to-ask as doing
αὐτοῖς μικρότατα μελήσει, ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι
for-them least will-be-a-concern then and yourself to-repay
χαριζομένην τὸν αὐτὸν τρόπον· οὕτω γὰρ ἂν μάλιστα
gratifying the same way so for — most
φίλοι γίγνοιντο καὶ πλεῖστον χρόνον φιλοῖεν καὶ
friends they-would-become and longest time would-love and
μέγιστα εὐεργετοῖεν.
greatest-things would-benefit
13 χαρίζοιο δ᾽ ἂν μάλιστα, εἰ δεομένοις δωροῖο τὰ
you-would-gratify and — most if to-those-needing you-gave the-things
παρὰ σεαυτῆς· ὁρᾷς γὰρ ὅτι καὶ τῶν βρωμάτων τὰ
from yourself you-see for that also of-the foods the
ἥδιστα, ἐὰν μέν τις προσφέρῃ πρὶν ἐπιθυμεῖν, ἀηδῆ
most-pleasant if indeed someone offers before to-desire unpleasant

φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν παρέχει, ἐὰν
appear to-the-sated and even disgust provide if
δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ,
but someone offers hunger having-produced even-if more-common they-be
πάνυ ἡδέα φαίνεται.
very pleasant appear
Πῶς οὖν ἄν, ἔφη, ἐγὼ λιμὸν ἐμποιεῖν τῶν παρ' 14
how then — she-said I hunger to-produce in-those with
ἐμοὶ δυναίμην; Εἰ νὴ Δί', ἔφη, πρῶτον μὲν τοῖς
me could if by Zeus he-said first indeed to-the
κεκορεσμένοις μήτε προσφέροις μήτε ὑπομιμνήσκοις, ἕως
sated neither offer nor remind until
ἂν τῆς πλησμονῆς παυσάμενοι πάλιν δέωνται, ἔπειτα τοὺς
— of-the fullness having-ceased again they-need then those
δεομένους ὑπομιμνήσκοις ὡς κοσμιωτάτῃ τε ὁμιλίᾳ καὶ
needing remind as most-decorous both company and
τῷ μὴ φαίνεσθαι βουλομένῃ χαρίζεσθαι καὶ διαφεύγουσα,
the not to-appear wishing to-gratify and fleeing-off
ἕως ἂν ὡς μάλιστα δεηθῶσι· τηνικαῦτα γὰρ πολὺ διαφέρει
until — as most they-need at-that-time for much differ
τὰ αὐτὰ δῶρα ἢ πρὶν ἐπιθυμῆσαι διδόναι.
the same gifts than before to-desire to-give
καὶ ἡ Θεοδότη· Τί οὖν οὐ σύ μοι, ἔφη, ὦ Σώκρατες, 15
and — Theodote why then not you to-me she-said O Socrates
ἐγένου συνθηρατὴς τῶν φίλων; Ἐάν γε νὴ Δί', ἔφη,
become fellow-hunter of-the friends if at-least by Zeus he-said
πείθῃς με σύ. Πῶς οὖν ἄν, ἔφη, πείσαιμί σε; Ζητήσεις,
you-persuade me you how then — she-said could-I-persuade you you-will-seek
ἔφη, τοῦτο αὐτὴ καὶ μηχανήσει, ἐάν τί μου δέῃ.
he-said this yourself and will-contrive if anything of-me you-need

16 Εἴσιθι τοίνυν, ἔφη, θαμινά. καὶ ὁ Σωκράτης ἐπισκώπτων
come-in then she-said often and — Socrates making-fun-of
τὴν αὐτοῦ ἀπραγμοσύνην· Ἀλλ', ὦ Θεοδότη, ἔφη, οὐ πάνυ
— his-own idleness but O Theodote he-said not very
μοι ῥᾴδιόν ἐστι σχολάσαι· καὶ γὰρ ἴδια πράγματα πολλὰ
for-me easy it-is to-be-at-leisure and for private affairs many
καὶ δημόσια παρέχει μοι ἀσχολίαν· εἰσὶ δὲ καὶ φίλαι
and public provide me lack-of-leisure there-are and also girlfriends
μοι, αἳ οὔτε ἡμέρας οὔτε νυκτὸς ἀφ' αὑτῶν ἐάσουσί με
to-me who neither by-day nor by-night from themselves will-let me
ἀπιέναι, φίλτρα τε μανθάνουσαι παρ' ἐμοῦ καὶ ἐπῳδάς.
go-away love-charms both learning from me and incantations
17 Ἐπίστασαι γάρ, ἔφη, καὶ ταῦτα, ὦ Σώκρατες; Ἀλλὰ διὰ
do-you-know-how for she-said also these-things O Socrates but because-of
τί οἴει, ἔφη, Ἀπολλόδωρόν τε τόνδε καὶ Ἀντισθένη
what do-you-think he-said Apollodorus both here and Antisthenes
οὐδέποτέ μου ἀπολείπεσθαι; διὰ τί δὲ καὶ Κέβητα καὶ
never from-me to-leave because-of what and also Cebes and
Σιμμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι ὅτι ταῦτα οὐκ
Simmias from-Thebes to-be-present well know that these-things not
ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν καὶ ἰύγγων ἐστί.
without many love-charms both and incantations and magic-wheels are
18 Χρῆσον τοίνυν μοι, ἔφη, τὴν ἴυγγα, ἵνα ἐπὶ σοὶ
lend then to-me she-said the magic-wheel so-that at you
πρῶτον ἕλκω αὐτήν. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ αὐτὸς
first I-may-draw it but by Zeus he-said not myself
ἕλκεσθαι πρὸς σὲ βούλομαι, ἀλλὰ σὲ πρὸς ἐμὲ πορεύεσθαι.
to-be-drawn to you I-wish but you to me to-come
Ἀλλὰ πορεύσομαι, ἔφη· μόνον ὑποδέχου. Ἀλλ' ὑποδέξομαί
but I-will-come she-said only receive-me but I-will-receive
σε, ἔφη, ἐὰν μή τις φιλωτέρα σου ἔνδον ᾖ.
you he-said if not some dearer than-you inside be

Socrates urges the young Epigenes, who is in poor physical condition, to train. Good health saves men in war, honors them, and helps their minds, while weakness brings death, captivity, and disgrace. The city does not train men publicly, but each should train privately and not grow old without seeing how strong and fine his body could become.

Ἐπιγένη δὲ τῶν συνόντων τινὰ νέον τε ὄντα καὶ τὸ 1
Epigenes and of-the associates one young both being and the
σῶμα κακῶς ἔχοντα ἰδών· Ὡς ἰδιωτικῶς, ἔφη, τὸ σῶμα
body badly having having-seen how like-a-layman he-said the body
ἔχεις, ὦ Ἐπίγενες. καὶ ὅς· Ἰδιώτης γάρ, ἔφη, εἰμί, ὦ
you-have O Epigenes and he A-layman for he-said I-am O
Σώκρατες. Οὐδέν γε μᾶλλον, ἔφη, τῶν ἐν Ὀλυμπίᾳ
Socrates not at-least more he-said than-those at Olympia
μελλόντων ἀγωνίζεσθαι· ἢ δοκεῖ σοι μικρὸς εἶναι ὁ
being-about to-compete or does-it-seem to-you small to-be the
περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγών, ὃν Ἀθηναῖοι
for the life against the enemies contest which the-Athenians
θήσουσιν, ὅταν τύχωσι;
will-hold whenever they-happen
καὶ μὴν οὐκ ὀλίγοι μὲν διὰ τὴν τοῦ σώματος 2
and indeed not few indeed because-of the of-the body
καχεξίαν ἀποθνῄσκουσί τε ἐν τοῖς πολεμικοῖς κινδύνοις
bad-condition die both in the of-war dangers
καὶ αἰσχρῶς σῴζονται· πολλοὶ δὲ δι' αὐτὸ τοῦτο
and shamefully are-saved many and because-of very this
ζῶντές τε ἁλίσκονται καὶ ἁλόντες ἤτοι δουλεύουσι
alive both are-caught and having-been-caught either are-slaves
τὸν λοιπὸν βίον, ἐὰν οὕτω τύχωσι, τὴν χαλεπωτάτην
the rest life if so they-happen the harshest

δουλείαν ἢ εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες
slavery or into the straits the most-painful having-fallen
καὶ ἐκτίσαντες ἐνίοτε πλείω τῶν ὑπαρχόντων αὐτοῖς
and having-paid sometimes more than-the possessions for-them
τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ
the rest life lacking the necessities being and
κακοπαθοῦντες διαζῶσι· πολλοὶ δὲ δόξαν αἰσχρὰν κτῶνται
suffering-hardship live-on many and repute shameful acquire
διὰ τὴν τοῦ σώματος ἀδυναμίαν δοκοῦντες ἀποδειλιᾶν.
because-of the of-the body weakness seeming to-play-the-coward
3 ἢ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς καχεξίας τούτων, καὶ
or do-you-despise the penalties of-the bad-condition these and
ῥᾳδίως ἂν οἴει φέρειν τὰ τοιαῦτα; καὶ μὴν οἶμαί
easily — do-you-think to-bear — such-things and indeed I-think
γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ
at-least much easier and more-pleasant than-these to-be what it-is-needful
ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας. ἢ
to-endure for-the one-taking-care of-the of-the body good-condition or
ὑγιεινότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις
healthier both and for the-other-things more-useful do-you-think
εἶναι τὴν καχεξίαν τῆς εὐεξίας, ἢ τῶν διὰ τὴν
to-be the bad-condition than-the good-condition or the through the
εὐεξίαν γιγνομένων καταφρονεῖς;
good-condition coming-about do-you-despise
4 καὶ μὴν πάντα γε τἀναντία συμβαίνει τοῖς εὖ τὰ σώματα
and indeed all at-least the-opposite befalls those well the bodies
ἔχουσιν ἢ τοῖς κακῶς. καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα
having than those badly and for are-healthy those the bodies
εὖ ἔχοντες καὶ ἰσχύουσι· καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ
well having and are-strong and many indeed because-of this from
τῶν πολεμικῶν ἀγώνων σῴζονταί τε εὐσχημόνως καὶ τὰ
the of-war contests are-saved both honorably and the

δεινὰ πάντα διαφεύγουσι, πολλοὶ δὲ φίλοις τε βοηθοῦσι
dangers all escape many and friends both help
καὶ τὴν πατρίδα εὐεργετοῦσι καὶ διὰ ταῦτα χάριτός
and the fatherland benefit and because-of these-things gratitude
τε ἀξιοῦνται καὶ δόξαν μεγάλην κτῶνται καὶ τιμῶν
both are-thought-worthy-of and repute great acquire and honors
καλλίστων τυγχάνουσι καὶ [διὰ ταῦτα] τόν τε λοιπὸν
finest obtain and because-of these-things the both rest
βίον ἥδιον καὶ κάλλιον διαζῶσι καὶ τοῖς ἑαυτῶν
life more-pleasantly and more-finely live-on and — for-their-own
παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν.
children finer resources for the life leave
οὕτοι χρή, ὅτι οὐκ ἀσκεῖ δημοσίᾳ ἡ πόλις τὰ 5
not-indeed it-is-needful because not trains publicly the city the-things
πρὸς τὸν πόλεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ
for the war because-of this also privately to-neglect but
μηδὲν ἧττον ἐπιμελεῖσθαι. εὖ γὰρ ἴσθι ὅτι οὐδὲ ἐν ἄλλῳ
nothing less to-take-care well for know that not-even in other
οὐδενὶ ἀγῶνι οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις διὰ
any contest nor in action any less will-you-have because-of
τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι· πρὸς πάντα γὰρ
the better the body to-have-been-prepared for all for
ὅσα πράττουσιν ἄνθρωποι χρήσιμον τὸ σῶμά ἐστιν·
as-many-as do men useful the body is
ἐν πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει
in all and the of-the body uses much it-matters
ὡς βέλτιστα τὸ σῶμα ἔχειν·
as best the body to-have
ἐπεὶ καὶ ἐν ᾧ δοκεῖ ἐλαχίστη σώματος χρεία εἶναι, ἐν 6
since even in what seems least of-body use to-be in
τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν ὅτι καὶ ἐν τούτῳ πολλοὶ
the thinking who not knows that even in this many

μεγάλα σφάλλονται διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; καὶ
greatly stumble because-of the not to-be-healthy the body and
λήθη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία πολλάκις
forgetfulness and and despondency and peevishness and madness often
πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν
for-many because-of the of-the body bad-condition into the mind
ἐμπίπτουσιν οὕτως ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν.
fall so as even the knowledge to-drive-out

7 τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι πολλὴ ἀσφάλεια καὶ
for-those and the bodies well having much safety and
οὐδεὶς κίνδυνος διά γε τὴν τοῦ σώματος καχεξίαν
no danger because-of at-least the of-the body bad-condition
τοιοῦτόν τι παθεῖν, εἰκὸς δὲ μᾶλλον πρὸς τἀναντία
such any to-suffer likely and rather for the-opposite
τῶν διὰ τὴν καχεξίαν γιγνομένων [καὶ] τὴν εὐεξίαν
of-the-things through the bad-condition coming-about also the good-condition
χρήσιμον εἶναι· καίτοι τῶν γε τοῖς εἰρημένοις ἐναντίων
useful to-be and-yet of-the at-least to-the said-things opposite
ἕνεκα τί οὐκ ἄν τις νοῦν ἔχων ὑπομείνειεν;
for-the-sake what not — anyone sense having would-endure

8 αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηρᾶναι, πρὶν ἰδεῖν
shameful and also the through the neglect to-grow-old before to-see
ἑαυτὸν ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι
oneself what-sort — finest and strongest in-the body
γένοιτο· ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα· οὐ
he-might-become these-things but not it-is-possible to-see neglecting not
γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι.
for they-are-willing of-themselves to-come-about

A collection of short replies. To a man angry that a greeting was not returned, Socrates says he would not be angry at someone with an ugly body. A man who eats without pleasure should stop eating. One who finds his water too warm or too cold is harder to please than his slaves. A man dreading the walk to Olympia walks as far at home, and one exhausted by a journey had carried less than his slave.

Ὀργιζομένου δέ ποτέ τινος, ὅτι προσειπών τινα χαίρειν 1
being-angry and once someone because having-greeted someone to-rejoice
οὐκ ἀντιπροσερρήθη· Γελοῖον, ἔφη, τό, εἰ μὲν τὸ σῶμα
not he-was-greeted-in-return laughable he-said the if indeed the body
κάκιον ἔχοντι ἀπήντησάς τῳ, μὴ ἂν ὀργίζεσθαι, ὅτι δὲ τὴν
worse having you-had-met someone not — to-be-angry that but the
ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ.
soul more-boorishly disposed you-met-with this you grieves
Ἄλλου δὲ λέγοντος, ὅτι ἀηδῶς ἐσθίοι· Ἀκουμενός, 2
another and saying that without-relish he-ate Acumenus
ἔφη, τούτου φάρμακον ἀγαθὸν διδάσκει. ἐρομένου δέ·
he-said for-this remedy good teaches having-asked and
Ποῖον; Παύσασθαι ἐσθίοντα, ἔφη· καὶ ἥδιόν τε καὶ
what-sort To-stop eating he-said and more-pleasantly both and
εὐτελέστερον καὶ ὑγιεινότερον διάξειν παυσάμενον.
more-cheaply and more-healthily to-live having-stopped
Ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ 3
another and in-turn saying that warm was at his-home the
ὕδωρ ὃ πίνοι· Ὅταν ἄρ', ἔφη, βούλῃ θερμῷ λούσασθαι,
water which he-drank when then he-said you-wish warm to-bathe-in
ἕτοιμον ἔσται σοι. Ἀλλὰ ψυχρόν, ἔφη, ἐστὶν ὥστε
ready it-will-be for-you but cold he-said it-is so-as
λούσασθαι. Ἆρ' οὖν, ἔφη, καὶ οἱ οἰκέται σου ἄχθονται
to-bathe so then he-said also the servants of-you are-vexed

πίνοντές τε αὐτὸ καὶ λούμενοι αὐτῷ; Μὰ τὸν Δί᾽, ἔφη·
drinking both it and bathing in-it by — Zeus he-said
ἀλλὰ καὶ πολλάκις τεθαύμακα ὡς ἡδέως αὐτῷ πρὸς
but even often I-have-wondered how gladly it for
ἀμφότερα ταῦτα χρῶνται. Πότερον δέ, ἔφη, τὸ παρὰ
both these-things they-use whether and he-said the at
σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν ἢ τὸ ἐν Ἀσκληπιοῦ;
your-house water warmer to-drink is or the at Asclepius'
Τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. Πότερον δὲ λούσασθαι ψυχρότερον
the at Asclepius' he-said whether and to-bathe colder
τὸ παρὰ σοὶ ἢ τὸ ἐν Ἀμφιαράου; Τὸ ἐν Ἀμφιαράου,
the at your-house or the at Amphiaraus' the at Amphiaraus'
ἔφη. Ἐνθυμοῦ οὖν, ἔφη, ὅτι κινδυνεύεις δυσαρεστότερος
he-said consider then he-said that you-risk harder-to-please
εἶναι τῶν τε οἰκετῶν καὶ τῶν ἀρρωστούντων.
to-be than-the both servants and the sick

4 Κολάσαντος δέ τινος ἰσχυρῶς ἀκόλουθον, ἤρετο τί
having-punished and someone severely an-attendant he-asked why
χαλεπαίνοι τῷ θεράποντι. Ὅτι, ἔφη, ὀψοφαγίστατός τε
he-was-angry with-the servant because he-said most-gluttonous both
ὢν βλακότατός ἐστι καὶ φιλαργυρώτατος ὢν ἀργότατος.
being most-sluggish he-is and most-avaricious being laziest
Ἤδη ποτὲ οὖν ἐπεσκέψω, πότερος πλειόνων πληγῶν
already ever then did-you-consider which-of-the-two more blows
δεῖται, σὺ ἢ ὁ θεράπων;
needs you or the servant

5 Φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδόν· Τί, ἔφη,
fearing and someone the to Olympia journey why he-said
φοβεῖ τὴν πορείαν; οὐ καὶ οἴκοι σχεδὸν ὅλην τὴν ἡμέραν
do-you-fear the journey not also at-home nearly whole the day
περιπατεῖς καὶ ἐκεῖσε πορευόμενος περιπατήσας ἀριστήσεις,
you-walk-about and there going having-walked you-will-lunch

περιπατήσας δειπνήσεις καὶ ἀναπαύσει; οὐκ οἶσθα ὅτι,
having-walked you-will-dine and you-will-rest not you-know that
εἰ ἐκτείναις τοὺς περιπάτους, οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις
if you-extended the walks which in five or six days
περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο;
you-walk easily — from-Athens to Olympia you-would-arrive
χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον ἢ
pleasanter and also to-start-early by-a-day one rather than
ὑστερίζειν. τὸ μὲν γὰρ ἀναγκάζεσθαι περαιτέρω τοῦ
to-be-late the indeed for to-be-compelled beyond the
μετρίου μηκύνειν τὰς ὁδοὺς χαλεπόν, τὸ δὲ μιᾷ ἡμέρᾳ
moderate to-lengthen the stages hard the but by-one day
πλείονας πορευθῆναι πολλὴν ῥᾳστώνην παρέχει. κρεῖττον
more to-travel much ease provides better
οὖν ἐν τῇ ὁρμῇ σπεύδειν ἢ ἐν τῇ ὁδῷ.
then in the start to-hurry than in the road
Ἄλλου δὲ λέγοντος, ὡς παρετάθη μακρὰν ὁδὸν πορευθείς, 6
another and saying that he-was-exhausted a-long road having-traveled
ἤρετο αὐτόν, εἰ καὶ φορτίον ἔφερε. Μὰ Δί᾽ οὐκ ἔγωγ᾽,
he-asked him if also a-load he-carried by Zeus not I-at-least
ἔφη, ἀλλὰ τὸ ἱμάτιον. Μόνος δ᾽ ἐπορεύου, ἔφη, ἢ καὶ
he-said but the cloak alone and did-you-travel he-said or also
ἀκόλουθός σοι ἠκολούθει; Ἠκολούθει, ἔφη. Πότερον κενός,
an-attendant you followed he-followed he-said whether empty
ἔφη, ἢ φέρων τι; Φέρων νὴ Δί᾽, ἔφη, τά τε στρώματα
he-said or carrying something carrying by Zeus he-said the both bedding
καὶ τἆλλα σκεύη. Καὶ πῶς [τι], ἔφη, ἀπήλλαχεν ἐκ τῆς
and the-other gear and how something he-said has-be-come-off from the
ὁδοῦ; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, βέλτιον ἐμοῦ. Τί οὖν; ἔφη,
road to-me indeed it-seems he-said better than-I what then he-said
εἰ τὸ ἐκείνου φορτίον ἔδει σε φέρειν, πῶς ἂν
if — his load it-had-been-needful you to-carry how would

οἴει διατεθῆναι; Κακῶς νὴ Δί᾽, ἔφη· μᾶλλον δὲ οὐδ᾽
do-you-think to-have-been-disposed badly by Zeus he-said rather but not-even
ἂν ἐδυνήθην κομίσαι. Τὸ οὖν τοσούτῳ ἧττον τοῦ παιδὸς
— I-could-have to-carry-it the then by-so-much less than-the boy
δύνασθαι πονεῖν πῶς ἠσκημένου δοκεῖ σοι ἀνδρὸς εἶναι;
to-be-able to-toil how trained seems to-you of-a-man to-be

XIV · AT DINNER

At shared dinners Socrates had the small contributions pooled so that the rich would share theirs too. He teases a young man who eats relish without bread: such a man is the true relish-eater. A man who tastes many dishes with one mouthful spoils the cooks' art, and the Athenian word for feasting means eating what neither harms body nor soul.

1 Ὁπότε δὲ τῶν συνιόντων ἐπὶ δεῖπνον οἱ μὲν μικρὸν
whenever and of-those coming-together for dinner some indeed little
ὄψον, οἱ δὲ πολὺ φέροιεν, ἐκέλευεν ὁ Σωκράτης τὸν
relish others but much brought ordered — Socrates the
παῖδα τὸ μικρὸν ἢ εἰς τὸ κοινὸν τιθέναι ἢ διανέμειν
slave the little either into the common to-put or to-distribute
ἑκάστῳ τὸ μέρος. οἱ οὖν τὸ πολὺ φέροντες ἠσχύνοντο
to-each the portion those then the much bringing were-ashamed
τό τε μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου καὶ τὸ
the both not to-share of-the into the common being-put and the
μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν· ἐτίθεσαν οὖν καὶ τὸ ἑαυτῶν
not to-put-in-return — their-own they-put then also — their-own
εἰς τὸ κοινόν. καὶ ἐπεὶ οὐδὲν πλέον εἶχον τῶν μικρὸν
into the common and since nothing more they-had than-those little
φερομένων, ἐπαύοντο πολλοῦ ὀψωνοῦντες.
bringing they-stopped much buying-relish

Καταμαθὼν δέ ποτε τῶν συνδειπνούντων τινὰ τοῦ μὲν 2
having-observed and once of-those dining-together someone of-the indeed
σίτου πεπαυμένον, τὸ δὲ ὄψον αὐτὸ καθ᾽ αὑτὸ ἐσθίοντα,
bread having-stopped the but relish itself by itself eating
λόγου ὄντος περὶ ὀνομάτων, ἐφ᾽ οἵῳ ἔργῳ ἕκαστον
talk being about names for what-sort work each
εἴη· Ἔχοιμεν ἄν, ἔφη, ὦ ἄνδρες, εἰπεῖν, ἐπὶ ποίῳ
might-be could-we — he-said O men to-say for what-sort
ποτὲ ἔργῳ ἄνθρωπος ὀψοφάγος καλεῖται; ἐσθίουσι μὲν
ever work a-man relish-eater is-called eat indeed
γὰρ δὴ πάντες ἐπὶ τῷ σίτῳ ὄψον, ὅταν παρῇ· ἀλλ᾽
for truly all with the bread relish when it-be-present but
οὐκ οἶμαί πω ἐπὶ τούτῳ γε ὀψοφάγοι καλοῦνται. Οὐ
not I-think yet for this at-least relish-eaters they-are-called not
γὰρ οὖν, ἔφη τις τῶν παρόντων.
for then said one of-those present
Τί γάρ; ἔφη, ἐάν τις ἄνευ τοῦ σίτου τὸ ὄψον 3
what for he-said if someone without the bread the relish
αὐτὸ ἐσθίῃ, μὴ ἀσκήσεως, ἀλλ᾽ ἡδονῆς ἕνεκα, πότερον
itself eat not of-training but of-pleasure for-the-sake whether
ὀψοφάγος εἶναι δοκεῖ ἢ οὔ; Σχολῇ γ᾽ ἄν, ἔφη, ἄλλος
relish-eater to-be does-he-seem or not hardly at-least — he-said another
τις ὀψοφάγος εἴη. καί τις ἄλλος τῶν παρόντων· Ὁ δὲ
anyone relish-eater could-be and some other of-those present he but
μικρῷ σίτῳ, ἔφη, πολὺ ὄψον ἐπεσθίων; Ἐμοὶ μέν, ἔφη ὁ
with-little bread he-said much relish eating-besides to-me indeed said —
Σωκράτης, καὶ οὗτος δοκεῖ δικαίως ἂν ὀψοφάγος καλεῖσθαι·
Socrates also this-man seems justly — relish-eater to-be-called
καὶ ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχωνται
and whenever at-least the other men to-the gods pray-for
πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο.
abundance-of-crops reasonably — this-man abundance-of-relish would-pray-for

4 ταῦτα δὲ τοῦ Σωκράτους εἰπόντος, νομίσας ὁ νεανίσκος
these-things and — Socrates having-said having-thought the young-man
εἰς αὑτὸν εἰρῆσθαι τὰ λεχθέντα τὸ μὲν ὄψον οὐκ
at himself to-have-been-said the-things spoken the indeed relish not
ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβε. καὶ ὁ Σωκράτης
stopped eating bread but took-in-addition and — Socrates
καταμαθών· Παρατηρεῖτ', ἔφη, τοῦτον οἱ πλησίον,
having-noticed watch he-said this-man those near
ὁπότερα τῷ σίτῳ ὄψῳ ἢ τῷ ὄψῳ σίτῳ χρήσεται.
whether the bread as-relish or the relish as-bread he-will-use
5 Ἄλλον δέ ποτε τῶν συνδείπνων ἰδὼν ἐπὶ τῷ ἑνὶ
another and once of-the fellow-diners having-seen with the one
ψωμῷ πλειόνων ὄψων γευόμενον· Ἆρα γένοιτ' ἄν, ἔφη,
morsel many relishes tasting then could-there-be — he-said
πολυτελεστέρα ὀψοποιία ἢ μᾶλλον τὰ ὄψα λυμαινομένη,
more-extravagant cookery or more the relishes spoiling
ἢ ἣν ὀψοποιεῖται ὁ [ἅμα πολλὰ ἐσθίων
than which cooks he at-the-same-time many-things eating
καὶ] ἅμα παντοδαπὰ ἡδύσματα εἰς τὸ στόμα
and at-the-same-time all-kinds-of sauces into the mouth
λαμβάνων; πλείω μέν γε τῶν ὀψοποιῶν συμμιγνύων
taking more indeed at-least than-the cooks mixing
πολυτελέστερα ποιεῖ· ἃ δὲ ἐκεῖνοι μὴ συμμιγνύουσιν,
more-extravagant makes what but those not mix
ὡς οὐχ ἁρμόττοντα, ὁ συμμιγνύων, εἴπερ ἐκεῖνοι ὀρθῶς
as not fitting he mixing if-indeed those rightly
ποιοῦσιν, ἁμαρτάνει τε καὶ καταλύει τὴν τέχνην αὐτῶν·
do errs both and destroys the art of-them
6 καίτοι πῶς οὐ γελοῖόν ἐστι παρασκευάζεσθαι μὲν ὀψοποιοὺς
and-yet how not laughable is-it to-provide indeed cooks
τοὺς ἄριστα ἐπισταμένους, αὐτὸν δὲ μηδ' ἀντιποιούμενον
the best knowing-how himself but not-even laying-claim-to

τῆς τέχνης ταύτης τὰ ὑπ᾽ ἐκείνων ποιούμενα μετατιθέναι;
the art this the-things by them made to-change
καὶ ἄλλο δέ τι προσγίγνεται τῷ ἅμα πολλὰ
and other and some-thing befalls the-one at-the-same-time many-things
ἐπεσθίειν ἐθισθέντι· μὴ παρόντων γὰρ πολλῶν μειονεκτεῖν
to-eat-besides accustomed not being-present for many to-be-at-a-loss
ἄν τι δοκοίη ποθῶν τὸ σύνηθες· ὁ δὲ συνεθισθεὶς
— somewhat he-would-seem missing the accustomed he but accustomed
τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν, ὅτε μὴ παρείη
the one morsel with-one relish to-send-down when not there-were
πολλά, δύναιτ᾽ ἂν ἀλύπως τῷ ἑνὶ χρῆσθαι.
many could — without-pain the one to-use
Ἔλεγε δὲ καί, ὡς τὸ εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων 7
he-said and also that the to-feast in the of-the-Athenians
γλώττῃ ἐσθίειν καλοῖτο· τὸ δὲ εὖ προσκεῖσθαι ἔφη ἐπὶ
tongue to-eat was-called the and well to-be-added he-said for
τῷ ταῦτα ἐσθίειν, ἃ μήτε τὴν ψυχὴν μήτε τὸ σῶμα
the these-things to-eat which neither the soul nor the body
λυποίη μηδὲ δυσεύρετα εἴη· ὥστε καὶ τὸ εὐωχεῖσθαι
would-pain nor hard-to-find would-be so-that also the to-feast
τοῖς κοσμίως διαιτωμένοις ἀνετίθει.
to-those decorously living he-attributed

BOOK IV

I · SOCRATES' USEFULNESS

Socrates was useful to his companions in every matter, in jest as well as in earnest. He looked for good natures, quick to learn and remember and eager for learning. He taught that the best natures need education most, as spirited horses and dogs do, and that those who think wealth makes education needless are fools.

Οὕτω δὲ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα 1
so and Socrates was in every matter and every
τρόπον ὠφέλιμος, ὥστε σκοπουμένῳ τῷ καὶ μετρίως
way useful that to-one-considering the-one even moderately
αἰσθανομένῳ φανερὸν εἶναι ὅτι οὐδὲν ὠφελιμώτερον ἦν
perceiving evident to-be that nothing more-useful was
τοῦ Σωκράτει συνεῖναι καὶ μετ' ἐκείνου διατρίβειν
than-the with-Socrates to-be-with and with him to-spend-time
ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι· ἐπεὶ καὶ τὸ ἐκείνου
anywhere and in any-whatever matter since even the of-him
μεμνῆσθαι μὴ παρόντος οὐ μικρὰ ὠφέλει τοὺς εἰωθότας τε
to-remember not being-present not little benefited those accustomed both
αὐτῷ συνεῖναι καὶ ἀποδεχομένους ἐκεῖνον. καὶ γὰρ παίζων
him to-be-with and accepting him and for jesting
οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι.
no less than being-serious he-was-profitable those spending-time-with-him
πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' 2
often for he-said indeed would someone to-love evident but
ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς
he-was not of-those the bodies for youthful-bloom but of-those the
ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο
souls for virtue well endowed aiming-at he-judged
δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς
and the good natures from the quickly both to-learn what

προσέχοιεν καὶ μνημονεύειν ἃ μάθοιεν καὶ ἐπιθυμεῖν τῶν
they-attended-to and to-remember what they-learned and to-desire the
μαθημάτων πάντων δι᾽ ὧν ἔστιν οἰκίαν τε καλῶς
studies all through which it-is-possible a-household both well
οἰκεῖν καὶ πόλιν καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ τοῖς
to-manage and a-city and the whole men both and the
ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι· τοὺς γὰρ τοιούτους
human affairs well to-use — for such
ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας
he-thought having-been-educated not — only themselves both happy
εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ
to-be and — their-own households well to-manage but also
ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν.
other men and cities to-be-able happy to-make
3 οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει, ἀλλὰ
not the same and way to all he-went but
τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ
those indeed thinking by-nature good to-be learning but
καταφρονοῦντας ἐδίδασκεν ὅτι αἱ ἄριστα δοκοῦσαι εἶναι
despising he-taught that the best seeming to-be
φύσεις μάλιστα παιδείας δέονται, ἐπιδεικνύων τῶν τε
natures most education need showing of-the both
ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς
horses the best-endowed spirited both and vehement
ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους
being if indeed from young they-were-broken most-serviceable
καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο,
and best becoming if but unbroken they-became
δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν τῶν
hardest-to-hold and worst and of-the dogs the
εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς
best-endowed industrious both being and eager-to-attack the

θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας ἀρίστας γίγνεσθαι πρὸς
wild-beasts the indeed well trained best to-become for
τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας
the hunts and most-useful untrained but becoming
ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας.
useless both and frantic and most-disobedient
ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, 4
likewise and also of-the men the best-endowed
ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ
most-robust both in-the souls being and
ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας
most-effective of-what — they-undertake educated
μὲν καὶ μαθόντας, ἃ δεῖ πράττειν, ἀρίστους τε
indeed and having-learned what it-is-needful to-do best both
καὶ ὠφελιμωτάτους γίγνεσθαι· πλεῖστα γὰρ καὶ μέγιστα
and most-useful to-become most for and greatest
ἀγαθὰ ἐργάζεσθαι· ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους
good-things to-accomplish uneducated but and ignorant having-become
κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι· κρίνειν
worst both and most-harmful to-become to-judge
γὰρ οὐκ ἐπισταμένους, ἃ δεῖ πράττειν, πολλάκις
for not knowing-how what it-is-needful to-do often
πονηροῖς ἐπιχειρεῖν πράγμασι, μεγαλείους δὲ καὶ σφοδροὺς
wicked to-undertake matters high-minded and and vehement
ὄντας δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι, διὸ
being hard-to-hold both and hard-to-turn-back to-be therefore
πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι.
most and greatest evils to-accomplish
τοὺς δ᾽ ἐπὶ πλούτῳ μέγα φρονοῦντας καὶ νομίζοντας οὐδὲν 5
those and on wealth greatly priding-themselves and thinking nothing
προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δὲ σφίσι τὸν πλοῦτον
to-need-besides education to-suffice and for-them the wealth

οἰομένους πρὸς τὸ διαπράττεσθαί τε ὅ τι ἂν βούλωνται
supposing for the to-accomplish both what ever — they-wish
καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων ἐφρένου λέγων,
and to-be-honored by the men be-brought-to-their-senses saying
ὅτι μῶρος μὲν εἴη, εἴ τις οἴεται μὴ μαθὼν τά τε
that a-fool indeed he-was if anyone thinks not having-learned the both
ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι,
useful-things and the harmful of-the affairs to-distinguish
μῶρος δ', εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ
a-fool and if anyone not distinguishing indeed these-things because-of
δὲ τὸν πλοῦτον ὅ τι ἂν βούληται ποριζόμενος οἴεται
but the wealth what ever — he-wishes procuring thinks
δυνήσεσθαι τὰ συμφέροντα πράττειν, ἠλίθιος δ', εἴ τις
to-be-able the advantageous-things to-do a-simpleton and if anyone
μὴ δυνάμενος τὰ συμφέροντα πράττειν εὖ τε πράττειν
not able the advantageous-things to-do well both to-fare
οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ [ἢ καλῶς ἢ]
thinks and the-things for the life for-himself either finely or
ἱκανῶς παρεσκευάσθαι, ἠλίθιος δὲ καί, εἴ τις οἴεται
sufficiently to-have-been-provided a-simpleton and also if anyone thinks
διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τι
because-of the wealth nothing knowing to-be-thought somewhat
ἀγαθὸς εἶναι ἤ, μηδὲν ἀγαθὸς εἶναι δοκῶν, εὐδοκιμήσειν.
good to-be or in-no-way good to-be seeming to-be-well-reputed

II · EUTHYDEMUS HUMBLED

Euthydemus, proud of his collection of books, thinks he needs no teacher. Socrates mocks the speech he will give to the assembly and draws him into talk. He makes Euthydemus sort deeds into just and unjust and shows that lying and deceit can

be just toward enemies and even friends. Euthydemus, who knows nothing of himself, of good and evil, or of democracy, goes away in despair and from then on stays with Socrates.

Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι 1
with-those and thinking education both the best to-have-obtained
καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ ὡς προσεφέρετο, νῦν
and greatly priding-themselves on wisdom how he-dealt now
διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα
I-shall-relate having-learned for Euthydemus the handsome writings
πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν
many having-collected of-poets both and sophists the
εὐδοκιμωτάτων καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν
most-renowned and from these already both thinking to-surpass
τῶν ἡλικιωτῶν ἐν σοφίᾳ καὶ μεγάλας ἐλπίδας ἔχοντα
the contemporaries in wisdom and great hopes having
πάντων διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν,
all to-excel in-the to-be-able to-speak both and to-act
πρῶτον μέν, αἰσθανόμενος αὐτὸν διὰ νεότητα οὔπω εἰς
first indeed perceiving him because-of youth not-yet into
τὴν ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι,
the agora entering if but anything he-wished to-get-done
καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς
sitting in saddler's-shop some of-those near the agora to
τοῦτο καὶ αὐτὸς ᾔει τῶν μεθ' ἑαυτοῦ τινας ἔχων.
this also himself he-went of-those with himself some having
καὶ πρῶτον μὲν πυνθανομένου τινός, πότερον Θεμιστοκλῆς 2
and first indeed inquiring someone whether Themistocles
διὰ συνουσίαν τινὸς τῶν σοφῶν ἢ φύσει τοσοῦτον
through company of-someone of-the wise or by-nature so-much
διήνεγκε τῶν πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν
excelled the citizens that to him to-look

τὴν πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη, ὁ Σωκράτης
the city whenever of-a-worthy man it-needed — Socrates
βουλόμενος κινεῖν τὸν Εὐθύδημον εὖηθες ἔφη εἶναι τὸ
wishing to-stir — Euthydemus simple he-said to-be the
οἴεσθαι τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι
to-think the indeed of-little worth arts not to-become
σπουδαίους ἄνευ διδασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι
serious-practitioners without teachers competent the but to-preside-over
πόλεως, πάντων ἔργων μέγιστον ὄν, ἀπὸ ταὐτομάτου
a-city of-all works greatest being of itself
παραγίγνεσθαι τοῖς ἀνθρώποις.
to-come to-the men

3 πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν
again and once being-present — Euthydemus seeing him
ἀποχωροῦντα τῆς συνεδρίας καὶ φυλαττόμενον μὴ δόξῃ
withdrawing from-the gathering and guarding-himself lest he-seem
τὸν Σωκράτη θαυμάζειν ἐπὶ σοφίᾳ· Ὅτι μέν, ἔφη, ὦ
— Socrates to-admire for wisdom that indeed he-said O
ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως
men Euthydemus here in age having-arrived the city
λόγον περί τινος προτιθείσης, οὐκ ἀφέξεται τοῦ
discussion about something proposing not will-hold-back from-the
συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει· δοκεῖ δέ
to-advise quite-clear it-is from what he-pursues it-seems and
μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρασκευάσασθαι
to-me fine preface of-the public-speeches to-have-prepared
φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. δῆλον
guarding-himself lest he-seem to-learn anything from anyone clear
γὰρ ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται·
for that speaking beginning thus he-will-preface

“Παρ’ οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν 4
from no-one indeed ever O men of-Athens anything
ἔμαθον, οὐδ’ ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν
I-learned nor hearing some to-be to-speak both and to-act
ἱκανοὺς ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ’ ἐπεμελήθην τοῦ
able did-I-seek these to-meet nor did-I-take-care of-the
διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπισταμένων, ἀλλὰ
a-teacher any for-me to-become of-those knowing but
καὶ τἀναντία· διατετέλεκα γὰρ φεύγων οὐ μόνον τὸ
even the-opposite I-have-continued for fleeing not only the
μανθάνειν τι παρά τινος, ἀλλὰ καὶ τὸ δόξαι. ὅμως δὲ
to-learn anything from anyone but also the to-seem nevertheless but
ὅ τι ἂν ἀπὸ ταὐτομάτου ἐπίῃ μοι συμβουλεύσω ὑμῖν.”
what ever — of itself occurs to-me I-will-advise you
ἁρμόσειε δ’ ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς βουλομένοις 5
it-would-suit and — so to-preface also those wishing
παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν· ἐπιτήδειόν γ’
from the city medical work to-get suitable at-least
ἂν αὐτοῖς εἴη τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν· “Παρ’
— for-them would-be of-the speech to-begin from-here from
οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν
no-one indeed ever O men of-Athens the medical
τέχνην ἔμαθον, οὐδ’ ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι
art I-learned nor did-I-seek a-teacher for-myself to-become
τῶν ἰατρῶν οὐδένα· διατετέλεκα γὰρ φυλαττόμενος οὐ
of-the doctors anyone I-have-continued for guarding-myself not
μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ
only the to-learn anything from the doctors but also
τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. ὅμως δέ
the to-seem to-have-learned the art this nevertheless and
μοι τὸ ἰατρικὸν ἔργον δότε· πειράσομαι γὰρ ἐν ὑμῖν
to-me the medical work give I-will-try for on you

ἀποκινδυνεύων μανθάνειν.” πάντες οὖν οἱ παρόντες
venturing to-learn all then those present
ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ.
laughed at the preface

6 ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδημος ἤδη μὲν οἷς ὁ
when and evident was — Euthydemus already indeed to-what —
Σωκράτης λέγοι προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι
Socrates said attending still but guarding-himself himself anything
φθέγγεσθαι καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν
to-utter and thinking by-the silence of-temperance reputation
περιβάλλεσθαι, τότε ὁ Σωκράτης βουλόμενος αὐτὸν παῦσαι
to-put-on then — Socrates wishing him to-stop
τούτου· Θαυμαστὸν γάρ, ἔφη, τί ποτε οἱ βουλόμενοι
from-this marvelous for he-said why ever those wishing
κιθαρίζειν ἢ αὐλεῖν ἢ ἱππεύειν ἢ ἄλλο τι τῶν
to-play-the-lyre or to-play-the-flute or to-ride or other anything —
τοιούτων ἱκανοὶ γενέσθαι πειρῶνται ὡς συνεχέστατα ποιεῖν,
of-such-things capable to-become try as most-continuously to-do
ὅ τι ἂν βούλωνται δυνατοὶ γενέσθαι, καὶ οὐ καθ’ ἑαυτούς,
what ever — they-wish able to-become and not by themselves
ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι, πάντα ποιοῦντες
but with those best seeming to-be all-things doing
καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων
and enduring for-the-sake of-the nothing without — their
γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν
judgment to-do as not would otherwise notable having-become of-those
δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ
but wishing able to-become to-speak both and to-do the
πολιτικὰ νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας
political-affairs think some without preparation and care
αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦτα ποιεῖν ἔσεσθαι.
of-themselves suddenly able these-things to-do to-be-going-to-be

καίτοι γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα 7
and-yet at-least by-so-much these-things than-those harder-to-accomplish
φαίνεται, ὅσῳπερ πλειόνων περὶ ταῦτα πραγματευομένων
appear by-as-much-as more about these-things busying-themselves
ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν ὅτι καὶ
fewer those accomplishing become clear then that also
ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων
care they-need more and stronger those of-these
ἐφιέμενοι ἢ οἱ ἐκείνων.
aiming-at than those of-those

κατ᾽ ἀρχὰς μὲν οὖν ἀκούοντος Εὐθυδήμου τοιούτους 8
at beginnings indeed then listening Euthydemus such
λόγους ἔλεγε Σωκράτης· ὡς δ᾽ ᾔσθετο αὐτὸν ἑτοιμότερον
words spoke Socrates when and he-perceived him more-readily
ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα,
staying when he-conversed and more-eagerly listening
μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον, παρακαθεζομένου δ᾽ αὐτῷ
alone he-went into the saddler's-shop having-sat-beside and him
τοῦ Εὐθυδήμου· Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι,
— Euthydemus tell me he-said O Euthydemus in reality
ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆχας τῶν
as I hear many writings have-you-collected of-the
λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; καὶ ὁ Εὐθύδημος·
so-called wise men to-have-been and — Euthydemus
Νὴ τὸν Δί᾽, ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω,
by — Zeus he-said O Socrates and still at-least I-collect
ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα.
until — I-acquire as — I-can most

Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἄγαμαί γέ σου, διότι 9
by — Hera said — Socrates I-admire at-least you because
οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι
not of-silver and of-gold you-preferred treasures to-possess

μᾶλλον ἢ σοφίας· δῆλον γὰρ ὅτι νομίζεις ἀργύριον
rather than of-wisdom clear for that you-think silver
καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς
and gold nothing better to-make the men the
δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς
but of-the wise men maxims with-virtue to-enrich those
κεκτημένους. καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα,
possessing-them and — Euthydemus rejoiced hearing these-things
νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετιέναι τὴν σοφίαν.
thinking to-seem — to-Socrates rightly to-pursue the wisdom
ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ·
he and having-observed him pleased by-the praise this
10 Τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε,
what and indeed wishing good to-become he-said O Euthydemus
συλλέγεις τὰ γράμματα; ἐπεὶ δὲ διεσιώπησεν ὁ Εὐθύδημος
do-you-collect the writings when and kept-silent — Euthydemus
σκοπῶν ὅ τι ἀποκρίναιτο, πάλιν ὁ Σωκράτης· Ἆρα μὴ
considering what ever he-should-answer again — Socrates then not
ἰατρός; ἔφη· πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα.
a-doctor he-said many for also of-doctors are treatises
καὶ ὁ Εὐθύδημος· Μὰ Δί', ἔφη, οὐκ ἔγωγε. Ἀλλὰ μὴ
and — Euthydemus by Zeus he-said not I-at-least but not
ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ γὰρ ἀνδρὸς
an-architect do-you-wish to-become of-a-sensible for man
καὶ τοῦτο δεῖ. Οὔκουν ἔγωγ', ἔφη. Ἀλλὰ μὴ γεωμέτρης
also this is-needed not-then I-at-least he-said but not a-geometer
ἐπιθυμεῖς, ἔφη, γενέσθαι ἀγαθός, ὥσπερ ὁ Θεόδωρος;
do-you-desire he-said to-become good like — Theodorus
Οὐδὲ γεωμέτρης, ἔφη. Ἀλλὰ μὴ ἀστρολόγος, ἔφη, βούλει
not-even a-geometer he-said but not an-astronomer he-said do-you-wish
γενέσθαι; ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο· Ἀλλὰ μὴ ῥαψῳδός;
to-become when and also this he-denied but not a-rhapsode

ἔφη· καὶ γὰρ τὰ Ὁμήρου σέ φασιν ἔπη πάντα κεκτῆσθαι.
he-said and for the of-Homer you they-say epics all to-possess
Μὰ Δί᾽ οὐκ ἔγωγ᾽, ἔφη· τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα
by Zeus not I-at-least he-said the for surely rhapsodes I-know
τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας.
the indeed epics knowing-exactly themselves but very foolish being
καὶ ὁ Σωκράτης ἔφη· Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς 11
and — Socrates said not surely O Euthydemus this —
ἀρετῆς ἐφίεσαι, δι᾽ ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ
virtue do-you-aim-at through which men political become and
οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις
good-managers and to-rule able and useful to-the both other
ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύδημος· Σφόδρα γ᾽,
men and to-themselves and — Euthydemus very at-least
ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. Νὴ Δί᾽, ἔφη
he-said O Socrates this — virtue I-need by Zeus said
ὁ Σωκράτης, τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι
— Socrates the finest virtue and greatest you-aim-at
τέχνης· ἔστι γὰρ τῶν βασιλέων αὕτη καὶ καλεῖται βασιλική.
art it-is for of-the kings this and is-called kingly
ἀτάρ, ἔφη, κατανενόηκας, εἰ οἷόν τέ ἐστι μὴ ὄντα
but he-said have-you-considered whether possible — it-is not being
δίκαιον ἀγαθὸν ταῦτα γενέσθαι; Καὶ μάλα, ἔφη· καὶ οὐχ
just good in-these-things to-become yes very he-said and not
οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι.
possible — at-least without justice good citizen to-become
Τί οὖν; ἔφη, σὺ δὴ τοῦτο κατείργασαι; Οἶμαί γ᾽, ἔφη, 12
what then he-said you indeed this have-you-achieved I-think at-least he-said
ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. Ἆρ᾽ οὖν,
O Socrates than-no-one — less to-appear just so then
ἔφη, τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν τεκτόνων; Ἔστι
he-said of-the just are works as of-the carpenters there-are

μέντοι, ἔφη. Ἆρ᾽ οὖν, ἔφη, ὥσπερ οἱ τέκτονες ἔχουσι
certainly he-said so then he-said as the carpenters are-able
τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ αὑτῶν
— their-own works to-show so the just — their-own
ἔχοιεν ἂν ἐξηγήσασθαι; Μὴ οὖν, ἔφη ὁ Εὐθύδημος, οὐ
could — to-expound not then said — Euthydemus not
δύναμαι ἐγὼ τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ
can-I I the of-the justice works to-expound and
νὴ Δί᾽ ἔγωγε τὰ τῆς ἀδικίας· ἐπεὶ οὐκ ὀλίγα ἔστι
by Zeus I-at-least the of-the injustice since not few it-is-possible
καθ᾽ ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν.
by each day such-things to-see both and to-hear

13 Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν
do-you-wish then said — Socrates let-us-write here indeed
δέλτα, ἐνταυθοῖ δὲ ἄλφα, εἶτα ὅ τι μὲν ἂν δοκῇ ἡμῖν
D here and A then what ever indeed — seems to-us
τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν,
of-the justice work to-be under the D let-us-put
ὅ τι δ᾽ ἂν τῆς ἀδικίας, πρὸς τὸ ἄλφα; Εἴ τί
what ever and — of-the injustice under the A if anything
σοι δοκεῖ, ἔφη, προσδεῖν τούτων, ποίει ταῦτα. καὶ
to-you seems he-said to-be-needed-besides these do these-things and
ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν· Οὐκοῦν, ἔφη, ἔστιν
— Socrates having-written as he-said therefore he-said there-is
ἐν ἀνθρώποις ψεύδεσθαι;
among men to-lie

14 Ἔστι μέντοι, ἔφη. Ποτέρωσε οὖν, ἔφη, θῶμεν τοῦτο; Δῆλον
there-is certainly he-said on-which-side then he-said shall-we-put this clear
ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Οὐκοῦν, ἔφη, καὶ ἐξαπατᾶν
that he-said under the injustice therefore he-said also to-deceive
ἔστι; Καὶ μάλα, ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶμεν; Καὶ
there-is yes very he-said this then on-which-side shall-we-put and

τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δὲ τὸ κλέπτειν;
this clear that he-said under the injustice what and the to-steal
Καὶ τοῦτο, ἔφη. Τὸ δὲ ἀνδραποδίζεσθαι; Καὶ τοῦτο. Πρὸς
also this he-said the and to-enslave also this under
δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε;
but the justice none to-us of-these will-lie O Euthydemus
Δεινὸν γὰρ ἂν εἴη, ἔφη. Τί δ'; ἐάν τις στρατηγὸς 15
terrible for — it-would-be he-said what and if someone general
αἱρεθεὶς ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται,
chosen unjust both and hostile a-city should-enslave
φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ
shall-we-say this-one to-do-wrong not indeed he-said just and to-do not
φήσομεν; Καὶ μάλα. Τί δ'; ἐὰν ἐξαπατᾷ πολεμῶν αὐτοῖς;
shall-we-say yes very what and if he-deceives warring with-them
Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ
just he-said also this if and he-steals both and plunders
τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη· ἀλλ' ἐγώ
the-things of-these not just-things will-he-do yes very he-said but I
σε τὸ πρῶτον ὑπελάμβανον πρὸς τοὺς φίλους μόνον
you the first supposed with-respect-to the friends only
ταῦτα ἐρωτᾶν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ
these-things to-ask therefore he-said as-many-as under the injustice
ἐθήκαμεν, ταῦτα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη;
we-put these-things also under the justice must-be-put — it-would-be
Ἔοικεν, ἔφη. Βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες 16
it-seems he-said do-you-wish then he-said these-things so having-put
διορισώμεθα πάλιν πρὸς μὲν τοὺς πολεμίους δίκαιον
let-us-define again with-respect-to indeed the enemies just
εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον,
to-be — such-things to-do with-respect-to but the friends unjust
ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι;
but to-be-needful toward at-least these as most-straightforward to-be

17 Πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος. Τί οὖν; ἔφη ὁ
certainly indeed then said — Euthydemus what then said —
Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ
Socrates if any general seeing despondently being the
στράτευμα ψευσάμενος φήσῃ συμμάχους προσιέναι καὶ
army having-lied should-say allies to-be-approaching and
τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθυμίας τοὺς στρατιώτας,
by-the lie this should-stop from-the despondency the soldiers
ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη,
on-which-side the deception this shall-we-put it-seems to-me he-said
πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον
under the justice if and someone son of-himself needing
φαρμακείας καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας ὡς
medicine and not accepting medicine having-deceived as
σιτίον τὸ φάρμακον δῷ καὶ τῷ ψεύδει χρησάμενος
food the medicine should-give and the lie having-used
οὕτως ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον;
so healthy should-make this in-turn the deception where must-be-put
Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δ'; ἐάν
it-seems to-me he-said also this under the same what and if
τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας, μὴ διαχρήσηται
someone in despondency being a-friend fearing lest be-kill
ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι
himself should-steal or should-seize either a-sword or other something
τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο νὴ
such this in-turn on-which-side must-be-put and this by
Δί', ἔφη, πρὸς τὴν δικαιοσύνην.
Zeus he-said under the justice

18 Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν
you-mean he-said you not-even toward the friends in-all-things it-to-be-needful
ἁπλοίζεσθαι; Μὰ Δί' οὐ δῆτα, ἔφη· ἀλλὰ μετατίθεμαι
to-be-straightforward by Zeus not indeed he-said but I-retract

τὰ εἰρημένα, εἴπερ ἔξεστι. Δεῖ γέ τοι, ἔφη ὁ
the-things said if-indeed it-is-allowed it-is-needful at-least surely said —
Σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον ἢ μὴ ὀρθῶς τιθέναι.
Socrates to-be-allowed much rather than not rightly to-place
τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, 19
of-those and indeed the friends deceiving for harm
ἵνα μηδὲ τοῦτο παραλίπωμεν ἄσκεπτον, πότερος
so-that not-even this we-leave-out unexamined which-of-the-two
ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; Ἀλλ', ὦ Σώκρατες,
more-unjust is he willing or he unwilling but O Socrates
οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ
no-longer indeed I-at-least trust what I-answer and for the
πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ
earlier all now otherwise to-be seems to-me than as I
τότε ᾤμην· ὅμως δὲ εἰρήσθω μοι ἀδικώτερον εἶναι τὸν
then thought nevertheless but let-it-be-said by-me more-unjust to-be the
ἑκόντα ψευδόμενον τοῦ ἄκοντος.
willingly lying than-the unwilling
Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι ὥσπερ 20
seems and to-you learning and knowledge of-the just to-be as
τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον
of-the letters to-me-at-least which-of-the-two and more-literate
κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγιγνώσκῃ
do-you-judge whoever — willingly not rightly writes and reads
ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκών, ἔγωγε· δύναιτο γὰρ ἄν,
or whoever — unwillingly whoever — willingly I-at-least he-could for —
ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν
whenever he-wished also rightly them to-do therefore he indeed
ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων
willingly not rightly writing literate — would-be he but unwillingly
ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν
illiterate how for not the just-things and whether he willingly

ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών.
lying and deceiving knows or he unwilling clear that he willing
Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα
therefore more-literate indeed the one-knowing letters
τοῦ μὴ ἐπισταμένου φὴς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν
than-the not knowing you-say to-be yes more-just and the
ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνομαι·
one-knowing the just-things than-the not knowing I-appear-(so)
δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν.
I-seem and to-myself also these-things not I-know how to-say
21 Τί δὲ δή, ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν μηδέποτε
what and indeed whoever — wishing the-truth to-say never
ταὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων
the-same-things about the same-things says but a-road both telling
τὴν αὐτὴν τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν
the same at-one-time indeed to east at-another and to west
φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν τοτὲ μὲν
tells and a-calculation declaring the same at-one-time indeed
πλείω, τοτὲ δ' ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ
more at-another and less declares what to-you seems —
τοιοῦτος; Δῆλος νὴ Δί' εἶναι ὅτι ἃ ᾤετο εἰδέναι οὐκ οἶδεν.
such-a-one clear by Zeus to-be that what he-thought to-know not he-knows
22 Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; Ἔγωγε.
do-you-know and any slavish called I-at-least
Πότερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; Δῆλον ὅτι δι'
whether because-of wisdom or because-of ignorance clear that because-of
ἀμαθίαν. Ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ
ignorance so then because-of the of-the to-work-bronze ignorance of-the
ὀνόματος τούτου τυγχάνουσιν; Οὐ δῆτα. Ἀλλ' ἄρα διὰ
name this they-obtain not indeed but then because-of
τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ
the of-the to-be-a-carpenter not-even because-of this but because-of

τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι᾽ ἓν τούτων, ἔφη, ἀλλὰ
the of-the to-be-a-cobbler not-even because-of one of-these he-said but
καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα
even the-opposite the for most of-those at-least — such-things
ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ᾽ οὖν τῶν τὰ καλὰ
knowing slavish are so then of-those the fine
καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ᾽ ἐστίν;
and good and just not knowing the name this is
Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν δεῖ παντὶ τρόπῳ 23
to-me-at-least it-seems he-said therefore it-is-needful in-every way
διατειναμένους φεύγειν ὅπως μὴ ἀνδράποδα ὦμεν. Ἀλλὰ
exerting-ourselves to-flee so-that not slaves we-be but
νὴ τοὺς θεούς, ἔφη, ὦ Σώκρατες, πάνυ ᾤμην φιλοσοφεῖν
by the gods he-said O Socrates very I-thought to-pursue
φιλοσοφίαν δι᾽ ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι
a-philosophy through which — most I-thought to-be-educated
τὰ προσήκοντα ἀνδρὶ καλοκαγαθίας ὀρεγομένῳ· νῦν
in-the-things befitting a-man nobility aspiring-to now
δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ
but how do-you-think me despondently to-be seeing myself through
μὲν τὰ προπεπονημένα οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι
indeed the previous-toils not-even the question to-answer
δυνάμενον ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν
able about what most it-is-needful to-know other and road
οὐδεμίαν ἔχοντα ἣν ἂν πορευόμενος βελτίων γενοίμην;
none having which — traveling better I-might-become
καὶ ὁ Σωκράτης· Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε· εἰς 24
and — Socrates tell me he-said O Euthydemus to
Δελφοὺς δὲ ἤδη πώποτε ἀφίκου; Καὶ δίς γε νὴ Δί᾽,
Delphi and already ever did-you-go even twice at-least by Zeus
ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον
he-said did-you-notice then on the temple somewhere written

τὸ Γνῶθι σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ
the Know thyself I-at-least whether then nothing to-you of-the
γράμματος ἐμέλησεν ἢ προσέσχες τε καὶ ἐπεχείρησας
inscription mattered or did-you-attend both and did-you-try
σαυτὸν ἐπισκοπεῖν ὅστις εἴης; Μὰ Δί᾽ οὐ δῆτα, ἔφη· καὶ
yourself to-examine who you-were by Zeus not indeed he-said and
γὰρ δὴ πάνυ τοῦτό γε ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν
for indeed very this at-least I-thought to-know hardly for —
ἄλλο τι ᾔδη, εἴ γε μηδ᾽ ἐμαυτὸν ἐγίγνωσκον.
other anything I-would-know if at-least not-even myself I-knew
25 Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτόν, ὅστις τοὔνομα
whether and to-you seems to-know himself who the-name
τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους
— his-own only knows or who like those the horses
ὠνούμενοι οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν
buying not sooner think to-know whichever —
βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής
they-wish to-know before — they-have-examined whether obedient
ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς ἢ ἀσθενής, καὶ
it-is or disobedient and whether strong or weak and
πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ
whether swift or slow and the-other-things the for the of-the
ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως
horse use suitable both and unsuitable how it-is so
ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην
himself having-examined what-sort he-is for the human
χρείαν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ,
use knows — his-own capacity so to-me-at-least it-seems
ἔφη, ὁ μὴ εἰδὼς τὴν αὑτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν.
he-said he not knowing — his-own capacity to-be-ignorant-of himself

Ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι 26
that and not evident he-said that because-of indeed the to-know
ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν ἄνθρωποι, διὰ
themselves most good-things experience men because-of
δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν γὰρ
and the to-be-deceived about-themselves most evils those indeed for
εἰδότες ἑαυτοὺς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ
knowing themselves the both suitable-things for-themselves know and
διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ μή· καὶ ἃ
distinguish the-things both they-can and what not and what
μὲν ἐπίστανται πράττοντες πορίζονταί τε ὧν δέονται
indeed they-understand doing procure both what they-need
καὶ εὖ πράττουσιν, ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι
and well fare from-what but not they-understand abstaining
ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν·
blameless become and escape the badly to-fare
διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι
because-of this and also the other men being-able
δοκιμάζειν καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ
to-test and through the of-the others use the both good-things
πορίζονται καὶ τὰ κακὰ φυλάττονται.
procure and the evils guard-against
οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν 27
those but not knowing but deceived — about-their-own
δυνάμεως πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἆλλα
capacity toward both the other men and the-other
ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν
human affairs alike are-disposed and neither what
δέονται ἴσασιν οὔτε ὅ τι πράττουσιν οὔτε οἷς χρῶνται,
they-need know nor what ever they-do nor what they-use

ἀλλὰ πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν
but all these erring the both good-things
ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσι.
miss and into-the evils fall

28 καὶ οἱ μὲν εἰδότες ὅ τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν
and those indeed knowing what ever they-do succeeding in-what
πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε
they-do well-reputed both and honored become and those both
ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες
like these gladly associate those both failing
τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὑτῶν
of-the affairs desire these on-behalf-of themselves
βουλεύεσθαι, καὶ προϊστασθαί γε αὑτῶν τούτους, καὶ
to-deliberate and to-stand-at-the-head-of at-least themselves these and
τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ
the hopes of-the good-things in these they-have and because-of
[πάντα] ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν.
all these-things of-all most these they-love

29 οἱ δὲ μὴ εἰδότες ὅ τι ποιοῦσι, κακῶς τε αἱρούμενοι
those but not knowing what ever they-do badly both choosing
καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν
and in-what — they-undertake failing not only in
αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ
very these-things are-penalized both and are-punished but also
ἀδοξοῦσι διὰ ταῦτα καὶ καταγέλαστοι γίγνονται καὶ
are-disreputed because-of these-things and ridiculous become and
καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν
despised and dishonored live you-see and also of-the
πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν
cities that as-many-as — having-been-ignorant-of — their-own power

κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται,
with-stronger make-war some indeed ruined become
αἱ δ' ἐξ ἐλευθέρων δοῦλαι.
others but from free slaves
καὶ ὁ Εὐθύδημος· Ὡς πάνυ μοι δοκοῦν, ἔφη, ὦ Σώκρατες, 30
and — Euthydemus as very to-me seeming he-said O Socrates
περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως
of much must-be-valued to-be the oneself to-know so
ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο
know from-where but it-is-needful to-begin to-examine oneself this
πρὸς σὲ ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι.
to you I-look if to-me you-would-be-willing — to-explain
Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ 31
therefore said — Socrates the indeed good-things and the bad-things
ὁποῖά ἐστι πάντως που γιγνώσκεις; Νὴ Δί', ἔφη, εἰ γὰρ μηδὲ
what-sort are altogether surely you-know by Zeus he-said if for not-even
ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην.
these-things I-know even than-the slaves worse — I-would-be
Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι αὐτά. Ἀλλ' οὐ χαλεπόν, ἔφη·
come indeed he-said also to-me explain them but not hard he-said
πρῶτον μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω,
first indeed for itself the to-be-healthy good to-be I-think
τὸ δὲ νοσεῖν κακόν· ἔπειτα καὶ τὰ αἴτια ἑκατέρου αὐτῶν
the and to-be-sick bad then also the causes of-each of-them
καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα τὰ μὲν πρὸς τὸ
both drinks and foods and practices the-ones indeed to the
ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά.
to-be-healthy leading good the-ones but to the to-be-sick bad
Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν 32
therefore he-said also the to-be-healthy and the to-be-sick whenever indeed
ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ
of-good some causes they-become good — would-be whenever but

κακοῦ, κακά. Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ
of-bad bad when and — he-said the indeed to-be-healthy of-bad
αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν ἀγαθοῦ; Ὅταν νὴ Δί', ἔφη,
cause would-become the but to-be-sick of-good when by Zeus he-said
στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας βλαβερᾶς καὶ ἄλλων
of-an-expedition both shameful and of-a-voyage harmful and of-others
πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες
many such those indeed through strength having-taken-part
ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν.
perish those but through weakness left-behind are-saved
Ἀληθῆ λέγεις· ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων
true-things you-say but you-see he-said that also of-the beneficial-things
οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν
some indeed through strength take-part others but through weakness
ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα,
are-left-out these-things then he-said at-times indeed benefiting
ποτὲ δὲ βλάπτοντα, τί μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν;
at-times but harming what more good than bad are
Οὐδὲν μὰ Δία φαίνεται κατά γε τοῦτον τὸν λόγον.
nothing by Zeus appears according-to at-least this — argument
33 Ἀλλ' ἥ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως
but the at-least surely wisdom O Socrates indisputably
ἀγαθόν ἐστι· ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον
good is what-sort for — anyone matter not better
πράττοι σοφὸς ὢν ἢ ἀμαθής; Τί δέ; τὸν Δαίδαλον, ἔφη,
would-do wise being than ignorant what and — Daedalus he-said
οὐκ ἀκήκοας ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν
not have-you-heard that having-been-seized by Minos because-of the wisdom
ἠναγκάζετο ἐκείνῳ δουλεύειν καὶ τῆς τε πατρίδος ἅμα
he-was-compelled to-him to-be-a-slave and of-the both fatherland at-the-same-time
καὶ τῆς ἐλευθερίας ἐστερήθη καὶ ἐπιχειρῶν ἀποδιδράσκειν
and of-the freedom was-deprived and attempting to-run-away

μετὰ τοῦ υἱοῦ τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ ἐδυνήθη
with the son the both boy he-lost and himself not was-able
σωθῆναι, ἀλλ᾽ ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους πάλιν ἐκεῖ
to-be-saved but carried-off to the barbarians again there
ἐδούλευε; Λέγεται νὴ Δί᾽, ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ
was-a-slave it-is-said by Zeus he-said these-things the and of-Palamedes not
ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ
have-you-heard sufferings this-one for indeed all sing that because-of
σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπόλλυται. Λέγεται
wisdom envied by — Odysseus be-perishes it-is-said
καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν
also these-things he-said others and how-many do-you-think because-of wisdom
ἀνασπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν;
carried-off to the-king to-have-been and there to-be-slaves
Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν 34
it-is-likely he-said O Socrates most-indisputable good
εἶναι τὸ εὐδαιμονεῖν. Εἴ γε μή τις αὐτό, ἔφη, ὦ
to-be the to-be-happy if at-least not someone it he-said O
Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ᾽ ἄν, ἔφη,
Euthydemus from disputable goods should-compose what and — he-said
τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ἔφη, εἴ γε
of-the things-making-happy disputable would-be nothing he-said if at-least
μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν
not we-shall-add to-it beauty or strength or wealth or repute
ἢ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν,
or also some other — of-such-things but by Zeus we-shall-add
ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη;
he-said how for — could-anyone without these be-happy
Νὴ Δί᾽, ἔφη, προσθήσομεν ἄρα, ἐξ ὧν πολλὰ καὶ 35
by Zeus he-said we-shall-add then from which many and
χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ
hard-things befall the men many indeed for because-of

τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων
the beauty by those over the youthful having-gone-mad
διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις
are-ruined many and because-of the strength greater works
ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσι, πολλοὶ δὲ
undertaking not small evils fall-into many and
διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι
because-of the wealth being-pampered both and plotted-against
ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν
perish many and because-of repute and political power
μεγάλα κακὰ πεπόνθασιν.
great evils have-suffered

36 Ἀλλὰ μήν, ἔφη, εἴ γε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν
but indeed he-said if at-least not-even the to-be-happy praising
ὀρθῶς λέγω, ὁμολογῶ μηδ' ὅ τι πρὸς τοὺς θεοὺς
rightly I-speak I-confess not-even what ever to the gods
εὔχεσθαι χρὴ εἰδέναι. Ἀλλὰ ταῦτα μέν, ἔφη ὁ
to-pray it-is-needful to-know but these-things indeed said —
Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι οὐδ'
Socrates perhaps because-of the strongly to-be-confident to-know not-even
ἔσκεψαι· ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζει
have-you-considered since but a-city democratically-governed you-prepare
προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστι.
to-lead clear that democracy at-least you-know what it-is

37 Πάντως δήπου, ἔφη. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι
altogether surely he-said seems then to-you possible to-be
δημοκρατίαν εἰδέναι μὴ εἰδότα δῆμον; Μὰ Δί' οὐκ ἔμοιγε.
democracy to-know not knowing the-people by Zeus not I-at-least
Καὶ δῆμον ἄρ' οἶσθα τί ἐστιν; Οἶμαι ἔγωγε. Καὶ τί
and the-people then do-you-know what it-is I-think I-at-least and what
νομίζεις δῆμον εἶναι; Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε.
do-you-think the-people to-be the poor of-the citizens I-at-least

Καὶ τοὺς πένητας ἄρα οἶσθα; Πῶς γὰρ οὔ; Ἆρ' οὖν
and the poor then do-you-know how for not so then
καὶ τοὺς πλουσίους οἶσθα; Οὐδέν γε ἧττον ἢ καὶ
also the rich do-you-know no at-least less than also
τοὺς πένητας. Ποίους δὲ πένητας καὶ ποίους πλουσίους
the poor what-sort and poor and what-sort rich
καλεῖς; Τοὺς μέν, οἶμαι, μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ
do-you-call those indeed I-think not enough having for what it-is-needful
τελεῖν πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν πλουσίους.
to-pay poor those but more than-the enough rich
Καταμεμάθηκας οὖν ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ 38
have-you-noticed then that to-some indeed very little having not
μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις
only suffices these-things but also they-save from them to-some
δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; Καὶ νὴ Δί', ἔφη ὁ Εὐθύδημος,
but very much not enough is and by Zeus said — Euthydemus
ὀρθῶς γάρ με ἀναμιμνήσκεις, οἶδα καὶ τυράννους τινάς, οἳ
rightly for me you-remind I-know also tyrants some who
δι' ἔνδειαν ὥσπερ οἱ ἀπορώτατοι ἀναγκάζονται ἀδικεῖν.
because-of want like the poorest are-compelled to-do-wrong
Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα οὕτως ἔχει, τοὺς 39
therefore said — Socrates if at-least these-things so are the
μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα
indeed tyrants among the people we-shall-put those but little
κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους.
possessing if thrifty they-be among the rich
καὶ ὁ Εὐθύδημος ἔφη· Ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν
and — Euthydemus said compels me also these-things to-agree
δῆλον ὅτι ἡ ἐμὴ φαυλότης· καὶ φροντίζω μὴ κράτιστον
clear that — my worthlessness and I-consider whether best
ᾖ μοι σιγᾶν· κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. καὶ
be for-me to-be-silent I-risk for simply nothing to-know and

πάνυ ἀθύμως ἔχων ἀπῆλθε καὶ καταφρονήσας ἑαυτοῦ
very despondently being he-went-away and having-despised himself
καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι.
and having-thought in reality a-slave to-be
40 πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους
many indeed then of-those so treated by Socrates
οὐκέτι αὐτῷ προσῇσαν, οὓς καὶ βλακοτέρους ἐνόμιζεν·
no-longer to-him came whom also more-stupid he-thought
ὁ δὲ Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος
— but Euthydemus supposed not — otherwise a-man notable
γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ
to-become if not as most with-Socrates he-associated and not
ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη·
he-left any-longer him if not something necessary there-were
ἔνια δὲ καὶ ἐμιμεῖτο ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δ',
some-things and also he-imitated of-what that-man practiced he and
ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν,
when he-knew him so being least indeed he-troubled
ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο ἅ τε ἐνόμιζεν
most-simply and and most-clearly he-expounded what both he-thought
εἰδέναι δεῖν καὶ ἐπιτηδεύειν κράτιστα εἶναι.
to-know it-was-needful and to-practice best to-be

III · GRATITUDE TO THE GODS

Socrates taught his companions temperance toward the gods. To Euthydemus he shows the gods' care: light, night and stars, food and water, fire, the sun's course, animals, the senses, reason, and speech. The gods, like the soul, are unseen but known by their works. Since the god at Delphi bids men honor the gods by the city's custom, one should honor them as far as one can.

Τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς [καὶ μηχανικοὺς] 1
the indeed then good-at-speaking and good-at-acting and inventive
γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον
to-become the associates not he-was-eager but before
τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς
these he-thought it-needful temperance in-them to-arise those
γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους ἀδικωτέρους
for without the to-be-temperate these-things able more-unjust
τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι.
both and more-able to-do-mischief he-thought to-be
πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν 2
first indeed truly about gods he-tried temperate to-make
τοὺς συνόντας. [ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως
the associates others indeed then him with others thus
ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δέ, ὅτε πρὸς
conversing having-been-present related I but when with
Εὐθύδημον τοιάδε διελέγετο, παρεγενόμην.]
Euthydemus such-things he-conversed was-present
Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν 3
tell me he-said O Euthydemus already ever to-you did-it-occur
ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται
to-reflect how carefully the gods what the men need
κατεσκευάκασι; καὶ ὅς· Μὰ τὸν Δί᾽, ἔφη, οὐκ ἔμοιγε.
have-provided and he by — Zeus he-said not to-me-at-least
Ἀλλ᾽ οἶσθά γ᾽, ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα,
but you-know at-least he-said that first indeed light we-need
ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; Νὴ Δί᾽, ἔφη, ὅ γ᾽ εἰ μὴ
which to-us the gods provide by Zeus he-said which at-least if not
εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν ἕνεκά γε τῶν
we-had like the blind — we-would-be for-the-sake at-least —

ἡμετέρων ὀφθαλμῶν. Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε
our eyes but indeed also rest at-least
δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον.
needing to-us night they-provide finest resting-time
4 Πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. Οὐκοῦν καὶ
certainly at-least he-said also this of-gratitude worthy therefore also
ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς
since the indeed sun bright being the both hours of-the
ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ
day to-us and the-other-things all makes-clear the and night
διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεστέρα ἐστίν, ἄστρα ἐν τῇ
because-of the dark to-be more-obscure is stars in the
νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τῆς νυκτὸς τὰς ὥρας ἐμφανίζει,
night they-made-shine which to-us of-the night the hours show
καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν; Ἔστι
and because-of this many-things of-what we-need we-do it-is
ταῦτα, ἔφη. Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς
these-things he-said but indeed the at-least moon not only of-the
νυκτός, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ.
night but also of-the month the parts evident to-us makes
5 Πάνυ μὲν οὖν, ἔφη. Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην
certainly indeed then he-said the and since food we-need this
ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι καὶ ὥρας ἁρμοττούσας πρὸς
to-us from the earth to-send-up and seasons fitting for
τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ
this to-provide which for-us not only of-what we-need many and
παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα;
all-kinds prepare but also in-what we-delight
6 Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα. Τὸ δὲ καὶ ὕδωρ
certainly he-said also these-things kind-to-men the and also water
ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε συμφύειν τε καὶ
to-us to-provide so of-much worth that to-help-grow both and

συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα
to-help-increase with-the earth and the seasons all the useful-things
ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς καὶ μιγνύμενον
for-us to-help-nourish and also ourselves us and mixed
πᾶσι τοῖς τρέφουσιν ἡμᾶς εὐκατεργαστότερά τε καὶ
with-all the-things nourishing us easier-to-digest both and
ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά, καὶ ἐπειδὴ
more-beneficial and more-pleasant to-make them and since
πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν
most we-need this most-abundantly it to-provide
ἡμῖν; Καὶ τοῦτο, ἔφη, προνοητικόν.
to-us also this he-said provident
Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, 7
the and also the fire to-provide to-us a-helper indeed against-cold
ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ
a-helper and against-darkness a-fellow-worker and for every art and
πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται;
all-things as-many-as of-benefit for-the-sake men make
ὡς γὰρ συνελόντι εἰπεῖν οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς
as for for-one-summing-up to-say nothing notable without fire
ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται.
men of-the-things for the life useful make
Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ.
it-surpasses he-said also this in-kindness-to-men
Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι 8
the and the sun when in winter it-has-turned to-approach
τὰ μὲν ἀδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν καιρὸς
the-things indeed ripening the-things and drying of-which the-time
διελήλυθε, καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω
has-passed and these-things having-accomplished no-longer nearer
προσιέναι, ἀλλ᾽ ἀποτρέπεσθαι φυλαττόμενον μή τι ἡμᾶς
to-approach but to-turn-back guarding lest at-all us

μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ, καὶ ὅταν αὖ
more than-the needful warming it-harm and whenever in-turn
πάλιν ἀπιὼν γένηται, ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν ὅτι,
again departing it-comes where also to-us clear it-is that
εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους,
if farther it-departs we-shall-be-frozen by the cold
πάλιν αὖ τρέπεσθαι καὶ προσχωρεῖν, καὶ ἐνταῦθα
again in-turn to-turn and to-approach and there
τοῦ οὐρανοῦ ἀναστρέφεσθαι ἔνθα ὢν μάλιστ' ἂν ἡμᾶς
of-the heaven to-turn-back where being most — us
ὠφελοίη; Νὴ τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν
it-would-benefit by — Zeus he-said also these-things altogether
ἔοικεν ἀνθρώπων ἕνεκα γιγνομένοις.
resemble of-men for-the-sake happening

9 Τὸ δ', ἐπειδὴ καὶ τοῦτο φανερὸν ὅτι οὐκ ἂν ὑπενέγκοιμεν
the and since also this evident that not — we-could-endure
οὔτε τὸ καῦμα οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης γίγνοιτο, οὕτω
either the heat or the cold if suddenly it-came so
μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ
indeed by little to-approach the sun so and by
μικρὸν ἀπιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ
little to-depart so-that to-escape-the-notice-of us into each-of-the-two the
ἰσχυρότατα καθισταμένους; Ἐγὼ μέν, ἔφη ὁ Εὐθύδημος,
strongest being-brought I indeed said — Euthydemus
ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τί ἐστι τοῖς θεοῖς ἔργον
already this consider whether then any is for-the gods work
ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με,
than men to-serve that but only hinders me
ὅτι καὶ τἆλλα ζῷα τούτων μετέχει.
that also the-other living-things in-these share

Οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φανερὸν ὅτι καὶ 10
not for also this said — Socrates evident that also
ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί
these of-men for-the-sake are-born both and reared what
γὰρ ἄλλο ζῷον αἰγῶν τε καὶ οἰῶν καὶ βοῶν καὶ ἵππων
for other living-thing of-goats both and of-sheep and of-cattle and of-horses
καὶ ὄνων καὶ τῶν ἄλλων ζῴων τοσαῦτα ἀγαθὰ ἀπολαύει
and of-asses and of-the other living-things so-many goods enjoys
ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ, πλείω ἢ τῶν
as-many-as men to-me indeed for it-seems more than of-the
φυτῶν· τρέφονται γοῦν καὶ χρηματίζονται οὐδὲν ἧττον
plants they-are-nourished at-any-rate and make-money no less
ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων· πολὺ δὲ γένος ἀνθρώπων
from these than from those a-great and race of-men
τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῆται, ἀπὸ
the indeed from the earth growing-things for food not uses from
δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι
but cattle on-milk and cheese and meats being-nourished
ζῶσι· πάντες δὲ τιθασεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα
live all and taming and breaking the useful
τῶν ζῴων εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς
of-the animals for both war and for other many-things as-helpers
χρῶνται. Ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη· ὁρῶ γὰρ αὐτῶν
use I-agree with-you also this he-said I-see for of-them
καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν οὕτως ὑποχείρια γιγνόμενα
even the much stronger than-us so subject becoming
τοῖς ἀνθρώποις ὥστε χρῆσθαι αὐτοῖς ὅ τι ἂν βούλωνται.
to-the men that to-use them what ever — they-wish
Τὸ δ', ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα 11
the and since many indeed fine-things and beneficial differing
δὲ ἀλλήλων ἐστί, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις
but from-one-another are to-have-added to-the men senses

ἁρμοττούσας πρὸς ἕκαστα, δι᾽ ὧν ἀπολαύομεν πάντων
fitted to each through which we-enjoy all
τῶν ἀγαθῶν· τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ
the good-things the and also reasoning in-us to-have-implanted by-which
περὶ ὧν αἰσθανόμεθα λογιζόμενοί τε καὶ μνημονεύοντες
about what we-perceive reasoning both and remembering
καταμανθάνομεν, ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ
we-learn how each-thing is-advantageous and many-things
μηχανώμεθα, δι᾽ ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν καὶ
we-contrive through which the both good-things we-enjoy and
τὰ κακὰ ἀλεξόμεθα·
the evils we-ward-off

12 τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι᾽ ἧς πάντων τῶν ἀγαθῶν
the and also expression to-have-given through which all the good-things
μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες καὶ κοινωνοῦμεν
we-share both with-one-another teaching and we-take-part-together
καὶ νόμους τιθέμεθα καὶ πολιτευόμεθα; Παντάπασιν ἐοίκασιν,
and laws we-make and we-live-as-citizens altogether they-seem
ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν
O Socrates the gods much of-the men care
ποιεῖσθαι. Τὸ δὲ καί, ᾗ ἀδυνατοῦμεν τὰ συμφέροντα
to-take the and also in-what-way we-are-unable the advantageous-things
προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν
to-foresee for the future in-that-way them us
συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ
to-help through divination to-those inquiring telling the
ἀποβησόμενα καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιτο;
outcomes and teaching how — best it-might-come-about
Σοὶ δ᾽, ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ
to-you and he-said O Socrates they-seem even more-friendly than

τοῖς ἄλλοις χρῆσθαι, εἴ γε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ
to-the others to-deal if at-least not-even being-asked by you
προσημαίνουσί σοι ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή.
they-indicate to-you the-things both it-is-needful to-do and what not
Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ γνώσει, ἂν μὴ ἀναμένῃς 13
that and at-least true-things I-say also you will-know if not you-wait
ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα
until — the forms of-the gods you-see but it-suffices you the works
αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. [ἐννόει δὲ ὅτι
of-them seeing to-revere and to-honor the gods consider and that
καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι
also themselves the gods so indicate the both for others
ἡμῖν τἀγαθὰ διδόντες οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες
to-us the-good-things giving none of-these into the-open coming
διδόασι, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων,
give and he the whole universe ordering both and holding-together
ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις
in which all-things fine and good are and always indeed to-those-using
ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατα παρέχων, θᾶττον δὲ
unworn both and healthy and ageless providing quicker and
νοήματος ὑπηρετοῦντα ἀναμαρτήτως, οὗτος τὰ μέγιστα μὲν
than-thought serving unerringly this-one the greatest-things indeed
πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.]
doing is-seen these-things but managing invisible to-us is
ἐννόει δ' ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ 14
consider and that also the to-all evident seeming to-be sun not
ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ', ἐάν
permits to-the men itself exactly to-see but if
τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεάσασθαι, τὴν ὄψιν ἀφαιρεῖται.
anyone him shamelessly attempt to-gaze-at the sight he-takes-away
καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας·
and the servants also of-the gods you-will-find invisible being

κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται, δῆλον, καὶ
thunderbolt both for that indeed from-above is-sent clear and
ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' οὔτ'
that whatever — it-meets all it-overpowers is-seen but neither
ἐπιὼν οὔτ' ἐγκατασκήψας οὔτε ἀπιών· καὶ ἄνεμοι αὐτοὶ
approaching nor striking nor departing and winds themselves
μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι φανερὰ ἡμῖν ἐστι, καὶ
indeed not are-seen what but they-do evident to-us is and
προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου
approaching them we-perceive but indeed also of-man
γε ψυχή, ἥ, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων,
at-least soul which if-indeed anything also other of-the human-things
τοῦ θείου μετέχει, ὅτι μὲν βασιλεύει ἐν ἡμῖν, φανερόν,
of-the divine partakes that indeed it-reigns in us evident
ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ
is-seen but not-even itself which-things it-is-needful considering not
καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων
to-despise the invisible-things but from the-things happening
τὴν δύναμιν αὐτῶν καταμανθάνοντα τιμᾶν τὸ δαιμόνιον.
the power of-them learning to-honor the divine
15 Ἐγὼ μέν, ὦ Σώκρατες, ἔφη ὁ Εὐθύδημος, ὅτι μὲν
I indeed O Socrates said — Euthydemus that indeed
οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα· ἐκεῖνο
not-even a-little I-will-neglect the divine clearly I-know that
δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας
but I-am-despondent-about that to-me it-seems the of-the gods benefits
οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.
not-even — one ever of-men with-worthy thanks to-repay
16 Ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε· ὁρᾷς γὰρ
but not this be-despondent-about he-said O Euthydemus you-see for
ὅτι ὁ ἐν Δελφοῖς θεός, ὅταν τις αὐτὸν ἐπερωτᾷ πῶς
that the at Delphi god whenever someone him asks how

ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται· Νόμῳ πόλεως· νόμος
— to-the gods he-might-please answers by-the-law of-the-city law
δὲ δήπου πανταχοῦ ἐστι κατὰ δύναμιν ἱεροῖς θεοὺς
and surely everywhere is according-to ability with-offerings gods
ἀρέσκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον
to-propitiate how then — anyone more-finely and more-piously
τιμῴη θεοὺς ἤ, ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν;
could-honor gods than as themselves bid so doing
ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι· ὅταν 17
but it-is-needful of-the indeed ability nothing to-fall-short whenever
γάρ τις τοῦτο ποιῇ, φανερὸς δήπου ἐστὶ τότε οὐ τιμῶν
for someone this does evident surely is then not honoring
θεούς. χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν
gods it-is-needful then nothing falling-short according-to ability
τιμᾶν τοὺς θεοὺς θαρρεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα
to-honor the gods to-be-confident both and to-hope the greatest
ἀγαθά. οὐ γὰρ παρ᾽ ἄλλων γ᾽ ἄν τις μείζω ἐλπίζων
goods not for from others at-least — anyone greater hoping
σωφρονοίη ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων,
would-be-wise than from those the greatest-things to-benefit able
οὐδ᾽ ἂν ἄλλως μᾶλλον ἢ εἰ τούτοις ἀρέσκοι· ἀρέσκοι
nor — otherwise rather than if these he-pleased he-would-please
δὲ πῶς ἂν μᾶλλον ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς;]
and how — rather than if as most he-obeyed them
τοιαῦτα μὲν δὴ λέγων τε καὶ αὐτὸς ποιῶν εὐσεβεστέρους 18
such-things indeed truly saying both and himself doing more-pious
τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.
both and more-temperate the associates he-made

Socrates showed his justice in deeds, obeying the laws against the people's anger and against the Thirty, and refusing to beg at his trial. To Hippias, who mocks him for always saying the same things, he defines the just as the lawful. Laws may change, but obeying them makes cities strong and men trusted. The unwritten laws are the gods', and those who break them, as parents and children who unite, are punished.

1 [Ἀλλὰ μὴν καὶ περὶ τοῦ δικαίου γε οὐκ ἀπεκρύπτετο
but indeed also about the just at-least not he-concealed
ἣν εἶχε γνώμην, ἀλλὰ καὶ ἔργῳ ἀπεδείκνυτο, ἰδίᾳ τε
what he-had opinion but also by-deed he-showed privately both
πᾶσι νομίμως τε καὶ ὠφελίμως χρώμενος καὶ κοινῇ
with-all lawfully both and helpfully dealing and publicly
ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος καὶ
the-rulers both what the laws commanded obeying both
κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως ὥστε διάδηλος
in-the city and in the campaigns so that conspicuous
εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν,
to-be beside the others being-orderly
2 καὶ ὅτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος οὐκ
and when in the assemblies presiding having-become not
ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ
he-allowed the people contrary-to the laws to-vote but
σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου
with the laws he-opposed such an-impulse of-the people
ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι·
which not — I-think other any man to-have-withstood
3 καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους
and when the Thirty ordered him contrary-to the laws
τι, οὐκ ἐπείθετο· τοῖς τε γὰρ νέοις ἀπαγορευόντων αὐτῶν
something not he-obeyed the both for young forbidding them

μὴ διαλέγεσθαι καὶ προσταξάντων ἐκείνῳ τε καὶ ἄλλοις
not to-converse and having-ordered him both and others
τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ
some of-the citizens to-bring someone for death alone not
ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι·
he-obeyed because-of the contrary-to the laws him to-be-ordered
καὶ ὅτε τὴν ὑπὸ Μελήτου γραφὴν ἔφευγε, τῶν ἄλλων 4
and when the by Meletus indictment he-defended of-the others
εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς
being-accustomed in the courts to favor both the
δικασταῖς διαλέγεσθαι καὶ κολακεύειν καὶ δεῖσθαι παρὰ
jurors to-speak and to-flatter and to-beg contrary-to
τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις
the laws and because-of — such-things many often
ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε
by the jurors being-acquitted he nothing was-willing
τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους
of-the customary-things in the court contrary-to the laws
ποιῆσαι, ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν,
to-do but easily would being-acquitted by the jurors
εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον
if even moderately any of-these he-had-done he-chose rather
τοῖς νόμοις ἐμμένων ἀποθανεῖν ἢ παρανομῶν ζῆν.
the laws abiding-by to-die than breaking-the-law to-live
καὶ ἔλεγε δὲ οὕτως καὶ πρὸς ἄλλους μὲν πολλάκις,] οἶδα 5
and he-spoke and so also to others indeed often I-know
δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ
and once him also with Hippias the Elean about the
δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος
just such-things having-conversed after a-time for having-arrived
ὁ Ἱππίας Ἀθήναζε παρεγένετο τῷ Σωκράτει λέγοντι πρός
— Hippias to-Athens was-present-with — to-Socrates saying to

τινας, ὡς θαυμαστὸν εἴη τό, εἰ μέν τις βούλοιτο
some how marvelous it-was the if indeed someone wished
σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ
a-cobbler to-have-taught someone or a-carpenter or a-smith or a-horseman not
ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· [φασὶ δέ τινες
to-be-at-a-loss where — sending of-this he-might-succeed they-say and some
καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι
even a-horse and an-ox for-the one-wishing just to-make
πάντα μεστὰ εἶναι τῶν διδαξόντων·] ἐὰν δέ τις
all-things full to-be of-those who-will-teach if but someone
βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέτην
wishes either himself to-learn the just or a-son or a-servant
διδάξασθαι, μὴ εἰδέναι ὅποι ἂν ἐλθὼν τύχοι τούτου.
to-have-taught not to-know where — going he-might-succeed in-this
6 καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα ὥσπερ ἐπισκώπτων
and — indeed Hippias having-heard these-things as-if mocking
αὐτόν· Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ
him still for you he-said O Socrates those —
αὐτὰ λέγεις ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ
same-things you-say which I long-ago once from-you heard and
ὁ Σωκράτης· Ὅ δέ γε τούτου δεινότερον, ἔφη, ὦ
— Socrates what and at-least than-this more-terrible he-said O
Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ
Hippias not only always the same-things I-say but also about
τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ
the same-things you but perhaps because-of the much-learned to-be about
τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις.
the same-things never the same-things say
7 Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. Πότερον,
certainly he-said I-try new something to-say always whether
ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων ἐάν
he-said also about what you-know such-as about letters if

τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα
someone asks you how-many and what-sort of-Socrates are other
μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν
indeed before others but now do-you-try to-say or about numbers
τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστίν, οὐ τὰ αὐτὰ
to-those asking if the twice five ten is not the same-things
νῦν ἃ καὶ πρότερον ἀποκρίνει; Περὶ μὲν τούτων, ἔφη,
now which also before do-you-answer about indeed these-things he-said
ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω·
O Socrates as you also I always the same-things say
περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς
about however the just very I-think now to-be-able to-say against
ἃ οὔτε σὺ οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτ' ἀντειπεῖν.
things-which neither you nor — other anyone could to-reply
Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν ηὑρηκέναι, εἰ 8
by — Hera he-said great you-say a-good to-have-found if
παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται
will-stop indeed the jurors divided voting will-stop
δ' οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ
and the citizens about the just disputing both and
ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δ' αἱ πόλεις
going-to-law and quarreling will-stop and the cities
διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ
differing about the just and making-war and I
μὲν οὐκ οἶδ' ὅπως ἂν ἀπολειφθείην σου πρὸ τοῦ
indeed not I-know how — I-could-be-parted from-you before the
ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν ηὑρηκότος.
to-hear so-great a-good having-found
Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσει, πρίν γ' ἂν αὐτὸς 9
but by Zeus he-said not you-will-hear before at-least — yourself
ἀποφήνῃ, ὅ τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γάρ,
declare what ever you-think the just to-be it-suffices for

ὅτι τῶν ἄλλων καταγελᾷς ἐρωτῶν μὲν καὶ ἐλέγχων
that the others you-mock asking indeed and refuting
πάντας, αὐτὸς δ' οὐδενὶ ἐθέλων ὑπέχειν λόγον οὐδὲ
all yourself but to-no-one willing to-render account nor
γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός.
opinion to-declare about anything
10 Τί δέ, ὦ Ἱππία; ἔφη, οὐκ ᾔσθησαι, ὅτι ἐγὼ ἃ
what and O Hippias he-said not have-you-perceived that I what
δοκεῖ μοι δίκαια εἶναι οὐδὲν παύομαι ἀποδεικνύμενος;
seem to-me just to-be in-no-way I-cease showing
Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ
and what-sort indeed to-you he-said this — account is if but
μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι· ἢ οὐ δοκεῖ σοι
not by-word he-said but by-deed I-show or not seems to-you
ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε
more-worthy-of-evidence than-the word the deed to-be much at-least
νὴ Δί', ἔφη· δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα
by Zeus he-said just-things indeed for saying many unjust-things
ποιοῦσι, δίκαια δὲ πράττων οὐδ' ἂν εἷς ἄδικος εἴη.
do just-things but doing not-even — one unjust would-be
11 Ἤισθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος ἢ
have-you-perceived then ever me either bearing-false-witness or
συκοφαντοῦντος ἢ φίλους ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντος ἢ
informing or friends or city into faction casting or
ἄλλο τι ἄδικον πράττοντος; Οὐκ ἔγωγ', ἔφη. Τὸ δὲ τῶν
other any unjust-thing doing not I-at-least he-said the and from-the
ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγεῖ; Δῆλος εἶ, ἔφη, ὦ
unjust-things to-abstain not just do-you-think clear you-are he-said O
Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι
Socrates also now to-escape attempting the to-declare

γνώμην, ὅ τι νομίζεις τὸ δίκαιον· οὐ γὰρ ἃ πράττουσιν
an-opinion what ever you-think the just not for what do
οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις.
the just but what not they-do these-things you-say
Ἀλλ' ὤμην ἔγωγ', ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν 12
but I-thought I-at-least said — Socrates the not to-be-willing
ἀδικεῖν ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι
to-do-wrong sufficient of-justice proof to-be if but to-you
μὴ δοκεῖ, σκέψαι, ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ· φημὶ γὰρ
not it-seems consider if this you more pleases I-say for
ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ
I the lawful just to-be then the same do-you-say O
Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι;
Socrates lawful both and just to-be
Ἔγωγε, ἔφη. Οὐ γὰρ αἰσθάνομαί σου μᾶλλον ὁποῖον 13
I-at-least he-said not for I-perceive from-you more what-sort
νόμιμον ἢ ποῖον δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη,
lawful or what-sort just you-mean laws and of-a-city he-said
γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ
do-you-know I-at-least he-said and what these do-you-think what
οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ
the citizens he-said having-agreed what both it-is-needful to-do and
ὧν ἀπέχεσθαι ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν
from-what to-abstain wrote-down therefore he-said lawful indeed —
εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα
would-be he according-to these living-as-a-citizen lawless and he these
παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια
transgressing certainly indeed then he-said therefore also just-things
μὲν ἂν πράττοι ὁ τούτοις πειθόμενος, ἄδικα δ' ὁ
indeed — would-do he these obeying unjust-things and he
τούτοις ἀπειθῶν; Πάνυ μὲν οὖν. Οὐκοῦν ὁ μὲν τὰ δίκαια
these disobeying certainly indeed then therefore he indeed the just-things

πράττων δίκαιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Πῶς γὰρ οὔ;
doing just he and the unjust-things unjust how for not
Ὁ μὲν ἄρα νόμιμος δίκαιός ἐστιν, ὁ δὲ ἄνομος ἄδικος.
he indeed then lawful just is he but lawless unjust
14 καὶ ὁ Ἱππίας· Νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς
and — Hippias laws and he-said O Socrates how
ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι ἢ τὸ
— would-anyone think serious matter to-be or the
πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις αὐτοὶ οἱ θέμενοι
to-obey them which at-least often themselves the having-made
ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ
rejecting change and for war said —
Σωκράτης, πολλάκις ἀράμεναι αἱ πόλεις πάλιν εἰρήνην
Socrates often having-taken-up the cities again peace
ποιοῦνται. Καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει
make yes very he-said different then at-all do-you-think
ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι
to-do he-said those the laws obeying disparaging because
καταλυθείεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις
might-be-abolished — the laws than if those in the wars
εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη; ἢ καὶ
being-orderly you-blamed because might-come — peace or also
τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας
those in the wars to-the fatherlands eagerly helping
μέμφει; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη.
you-censure by Zeus not I-at-least he-said
15 Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ Σωκράτης,
Lycurgus and the Lacedaemonian said — Socrates
καταμεμάθηκας ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων
have-you-noticed that nothing — different than-the other cities
τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις
— Sparta he-would-have-made if not the to-obey the laws

μάλιστα ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς
most he-had-worked-into it of-the and rulers in the
πόλεσιν οὐκ οἶσθα ὅτι, οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι
cities not you-know that whoever — for-the citizens most-responsible
ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι, καὶ
be of-the the laws to-obey these best are and
πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν
a-city in which most the citizens the laws obey in
εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν;
peace both best lives and in war irresistible is
ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ 16
but indeed also concord at-least greatest both good seems
ταῖς πόλεσιν εἶναι καὶ πλειστάκις ἐν αὐταῖς αἵ τε
for-the cities to-be and most-often in them the both
γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς
councils-of-elders and the best men exhort the
πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος
citizens to-agree and everywhere in — Greece law
κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ
is-laid-down the citizens to-swear to-agree and everywhere
ὀμνύουσι τὸν ὅρκον τοῦτον· οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι
they-swear the oath this I-think and I these-things to-happen
οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται,
not so-that the same choruses may-judge the citizens
οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως
nor so-that the same flute-players they-may-praise nor so-that
τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς
the same poets they-may-choose nor so-that in-the same-things
ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις
they-may-take-pleasure but so-that the laws they-may-obey these
γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε
for the citizens abiding-by the cities strongest both

καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δὲ ὁμονοίας οὔτ'
and happiest become without and concord neither
ἂν πόλις εὖ πολιτευθείη οὔτ' οἶκος καλῶς οἰκηθείη.
— a-city well could-be-governed nor a-household finely could-be-managed
17 ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο,
privately and how indeed — anyone less by a-city would-be-punished
πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο;
how and — more would-be-honored than if the laws he-obeyed
πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο ἢ πῶς
how and — less in the courts would-be-defeated or how
ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειε
— more would-win to-whom and — anyone more would-trust
παρακαταθέσθαι ἢ χρήματα ἢ υἱοὺς ἢ θυγατέρας; τίνα
to-deposit either money or sons or daughters whom
δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου;
and — the city whole more-trustworthy would-think than-the lawful-man
παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς
from whom and — more the just-dues would-obtain either parents
ἢ οἰκεῖοι ἢ οἰκέται ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ'
or relatives or servants or friends or citizens or strangers to-whom and
ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς
— more enemies would-trust either truces or treaties
ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον ἢ τῷ
or agreements about peace to-whom and — rather than to-the
νομίμῳ σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ' ἂν μᾶλλον
lawful-man allies would-be-willing to-become to-whom and — more
οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν ἢ φρουραρχίαν
the allies would-trust either leadership or command-of-a-garrison
ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν
or cities whom and — anyone having-benefited would-suppose gratitude
κομιεῖσθαι μᾶλλον ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις
to-receive more than the lawful-man or whom more — anyone

εὐεργετήσειεν ἢ παρ᾽ οὗ χάριν ἀπολήψεσθαι νομίζει;
would-benefit than from whom gratitude to-get-back he-thinks
τῷ δ᾽ ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ
to-whom and — anyone would-wish more friend to-be than —
τοιούτῳ, ἢ τῷ ἧττον ἐχθρός; τῷ δ᾽ ἄν τις ἧττον
to-such-a-one or to-whom less enemy with-whom and — anyone less
πολεμήσειεν ἢ ᾧ μάλιστα μὲν φίλος εἶναι βούλοιτο,
would-make-war than with-whom most indeed friend to-be he-would-wish
ἥκιστα δ᾽ ἐχθρός, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ
least and enemy and with-whom most indeed friends and
σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ᾽ ἐχθροὶ καὶ πολέμιοι;
allies would-wish to-be fewest and enemies and foes
ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἀποδείκνυμαι νόμιμόν τε 18
I indeed then O Hippias the same show lawful both
καὶ δίκαιον εἶναι· σὺ δ᾽ εἰ τἀναντία γιγνώσκεις, δίδασκε. καὶ
and just to-be you but if the-opposite you-think teach and
ὁ Ἱππίας· Ἀλλὰ μὰ τὸν Δί᾽, ἔφη, ὦ Σώκρατες, οὔ μοι
— Hippias but by — Zeus he-said O Socrates not to-myself
δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου.
I-seem the-opposite to-think to-what you-have-said about the just
Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τούς 19
unwritten and some do-you-know he-said O Hippias laws those
γ᾽ ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους.
at-least in every he-said country in-the same-way observed
Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο;
could-you — then to-say he-said that the men them made
Καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν
and how — he-said who at-least neither to-come-together all —
δυνηθεῖεν οὔτε ὁμόφωνοί εἰσι; Τίνας οὖν, ἔφη, νομίζεις
could nor of-one-speech are who then he-said do-you-think
τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι
to-have-made the laws these I indeed he-said gods I-think

τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ
the laws these for-the men to-have-made and for
παρὰ πᾶσιν ἀνθρώποις. πρῶτον νομίζεται θεοὺς σέβειν.
among all men first it-is-held gods to-revere
20 Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο,
therefore also parents to-honor everywhere is-held and this
ἔφη. Οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι μήτε
he-said therefore also neither parents with-children to-have-intercourse nor
παῖδας γονεῦσιν; Οὐκέτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες,
children with-parents no-longer to-me it-seems he-said O Socrates
οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι, ἔφη, αἰσθάνομαί
this of-god law to-be why indeed he-said because he-said I-perceive
τινας παραβαίνοντας αὐτόν.
some transgressing it
21 Καὶ γὰρ ἄλλα πολλά, ἔφη, παρανομοῦσιν· ἀλλὰ δίκην
and for other many-things he-said they-break-the-law but penalty
γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν
at-least surely pay those transgressing the by the gods
κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ
laid-down laws which in-no way possible for-man
διαφυγεῖν, ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους
to-escape as the by men laid-down laws
ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ
some transgressing escape the penalty to-pay some
μὲν λανθάνοντες, οἱ δὲ βιαζόμενοι.
indeed escaping-notice others and using-force
22 Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν
and what-sort he-said penalty O Socrates not are-they-able to-escape
γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν
parents both with-children and children with-parents having-intercourse the

μεγίστην νὴ Δί᾽, ἔφη· τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι
greatest by Zeus he-said what for — greater could-suffer men
τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι;
begetting-children than-the badly to-beget-children
Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν 23
how then he-said badly these beget-children whom at-least nothing
κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν παιδοποιεῖσθαι;
prevents good themselves being from good to-beget-children
Ὅτι νὴ Δί᾽, ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ
because by Zeus he-said not only good it-is-needful those from
ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας
one-another begetting-children to-be but also in-their-prime
τοῖς σώμασιν· ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ
in-the bodies or seems to-you alike the seeds to-be the
τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων ἢ τῶν
of-those in-their-prime to-those of-the not-yet in-their-prime or of-those
παρηκμακότων; Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι.
past-their-prime but by Zeus he-said not likely alike to-be
Πότερα οὖν, ἔφη, βελτίω; Δῆλον ὅτι, ἔφη, τὰ τῶν
which-of-the-two then he-said better clear that he-said the-seeds of-those
ἀκμαζόντων. Τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα;
in-their-prime the-seeds of-those not in-their-prime then not good
Οὐκ εἰκὸς μὰ Δί᾽, ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ
not likely by Zeus he-said therefore so at-least not it-is-needful
παιδοποιεῖσθαι; Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε οὕτω
to-beget-children not for then he-said therefore those at-least so
παιδοποιούμενοι ὡς οὐ δεῖ παιδοποιοῦνται; Ἔμοιγε
begetting-children as not it-is-needful beget-children to-me-at-least
δοκεῖ, ἔφη. Τίνες οὖν ἄλλοι, ἔφη, κακῶς ἂν παιδοποιοῖντο,
it-seems he-said who then others he-said badly — would-beget-children
εἰ γε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο.
if at-least not these I-agree with-you he-said also this

24 Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ
what and those well doing to-benefit-in-return not everywhere
νόμιμόν ἐστι; Νόμιμον, ἔφη· παραβαίνεται δὲ καὶ τοῦτο.
lawful is lawful he-said is-transgressed but also this
Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων
therefore also those this transgressing penalty pay of-friends
μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς
indeed good bereft becoming those but hating themselves
ἀναγκαζόμενοι διώκειν; ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες
being-compelled to-pursue or not those indeed well doing
τοὺς χρωμένους ἑαυτοῖς ἀγαθοὶ φίλοι εἰσίν, οἱ δὲ μὴ
those using them good friends are those but not
ἀντευεργετοῦντες τοὺς τοιούτους διὰ μὲν τὴν ἀχαριστίαν
benefiting-in-return — such because-of indeed the ingratitude
μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν
are-hated by them because-of but the most to-be-profitable
τοῖς τοιούτοις χρῆσθαι τούτους μάλιστα διώκουσι; Νὴ τὸν
— such to-use these most they-pursue by —
Δί', ὦ Σώκρατες, ἔφη, θείοις ταῦτα πάντα ἔοικε· τὸ γὰρ
Zeus O Socrates he-said divine these-things all seem the for
τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν
the laws themselves for-those transgressing the punishments to-have
βελτίονος ἢ κατ' ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι.
of-a-better than according-to man lawgiver seems to-me to-be
25 Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγεῖ τὰ δίκαια
whether then O Hippias the gods do-you-think the just-things
νομοθετεῖν ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα μὰ
to-legislate or other-things than-the just-things not other-things by
Δί', ἔφη· σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια
Zeus he-said hardly for — other at-least anyone the just-things
νομοθετήσειεν, εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ
would-legislate if not a-god and to-the gods then O Hippias the

αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. [Τοιαῦτα λέγων
same just both and lawful to-be pleases such-things saying
τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.]
both and doing more-just he-made those approaching-him

V · SELF-CONTROL AND FREEDOM

Socrates made his companions more capable of action by teaching self-control. He shows Euthydemus that the uncontrolled man is a slave to the worst masters, cut off from wisdom, temperance, and even pleasure, which only self-control brings in full. Only the self-controlled can sort things into kinds by word and deed, and dialectic is named from this.

[Ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν 1
how and also more-capable-of-action he-made the associates with-himself now
αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν
in-turn this I-shall-tell thinking for self-control to-exist good
εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν
to-be for-the one-about fine something to-do first indeed
αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὑτὸν μάλιστα
himself evident he-was to-the associates having-trained himself most
πάντων ἀνθρώπων, ἔπειτα διαλεγόμενος προετρέπετο
of-all men then conversing he-urged
πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν.
of-all most the associates toward self-control
ἀεὶ μὲν οὖν περὶ τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός 2
always indeed then about the-things for virtue useful himself
τε διετέλει μεμνημένος καὶ τοὺς συνόντας πάντας
both continued remembering and the associates all
ὑπομιμνήσκων·] οἶδα δέ ποτε αὐτὸν καὶ [πρὸς Εὐθύδημον]
reminding I-know and once him also with Euthydemus

περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα· Εἰπέ μοι, ἔφη, ὦ
about self-control such-things having-conversed tell me he-said O
Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ
Euthydemus then fine and magnificent do-you-think to-be both for-a-man
καὶ πόλει κτῆμα ἐλευθερίαν; Ὡς οἷόν τέ γε μάλιστα, ἔφη.
and for-a-city a-possession freedom as possible — at-least most he-said
3 Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ
whoever then is-ruled by the through the body pleasures and
διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις
because-of these not is-able to-do the best-things do-you-think
τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλευθέριον
this-one free to-be least he-said perhaps for free
φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν
appears to-you the to-do the best-things then the to-have
τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν ἀνελεύθερον νομίζεις;
those who-will-prevent — such-things to-do unfree do-you-think
4 Παντάπασί γ', ἔφη. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ
altogether at-least he-said altogether then to-you seem the
ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί' εἰκότως. Πότερα δέ
uncontrolled unfree to-be by — Zeus reasonably whether and
σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα
to-you seem the uncontrolled to-be-prevented only the finest-things
πράττειν ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν;
to-do or also to-be-compelled the most-shameful-things to-do
Οὐδὲν ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι
no less to-me-at-least he-said they-seem these-things to-be-compelled
ἢ ἐκεῖνα κωλύεσθαι.
than those to-be-prevented
5 Ποίους δέ τινας δεσπότας ἡγεῖ τοὺς τὰ μὲν ἄριστα
what-sort and some masters do-you-think those the indeed best-things
κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατὸν νὴ
preventing the but worst-things compelling as possible by

Διΐ, ἔφη, κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις
Zeus he-said worst slavery and what-sort worst do-you-think
εἶναι; Ἐγὼ μέν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις.
to-be I indeed he-said the with the worst masters
Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν;
the worst then slavery the uncontrolled serve
Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν οὐ 6
to-me-at-least it-seems he-said wisdom and the greatest good not
δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία εἰς
seems to-you shutting-out from-the men the lack-of-self-control into
τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν
the-opposite them to-cast or not seems to-you to-attend
τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν,
both to-the beneficial-things and to-learn them to-prevent
ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους
dragging-away to the pleasant-things and often perceiving
τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα ποιεῖν τὸ
the good-things both and the bad-things having-stunned to-make the
χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτ', ἔφη.
worse instead-of the better to-choose it-happens this he-said
Σωφροσύνης δέ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ 7
of-temperance and O Euthydemus to-whom — would-we-say less than
τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία
to-the uncontrolled-man to-belong very for surely the opposite
σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ
of-temperance and lack-of-self-control works are I-agree also
τοῦτο, ἔφη. [Τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει οἴει
this he-said of-the and to-care-for what is-fitting do-you-think
τι κωλυτικώτερον εἶναι ἀκρασίας; Οὔκουν ἔγωγ',
anything more-hindering to-be than-lack-of-self-control not-then I-at-least
ἔφη.] Τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα
he-said the and instead-of the beneficial-things the harmful

προαιρεῖσθαι ποιοῦντος καὶ τούτων μὲν ἐπιμελεῖσθαι,
to-prefer making and these indeed to-care-for
ἐκείνων δὲ ἀμελεῖν πείθοντος καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία
those but to-neglect persuading and to-the temperate the opposite
ποιεῖν ἀναγκάζοντος οἴει τι ἀνθρώπῳ κάκιον εἶναι;
to-do compelling do-you-think anything for-a-man worse to-be
8 Οὐδέν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ
nothing he-said therefore the self-control of-the opposite-things than
τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ
the lack-of-self-control likely for-the men cause to-be certainly
μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς
indeed then he-said therefore also of-the opposite-things the cause likely
ἄριστον εἶναι; Εἰκὸς γάρ, ἔφη. Ἔοικεν ἄρ', ἔφη, ὦ
best to-be likely for he-said it-seems then he-said O
Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἐγκράτεια εἶναι;
Euthydemus best for-a-man self-control to-be
9 Εἰκότως γάρ, ἔφη, ὦ Σώκρατες. Ἐκεῖνο δέ, ὦ Εὐθύδημε,
reasonably for he-said O Socrates that and O Euthydemus
ἤδη πώποτε ἐνεθυμήθης; Ποῖον; ἔφη. Ὅτι καὶ ἐπὶ
already ever did-you-reflect-on what-sort he-said that even to
τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς
the pleasant-things to which alone seems the lack-of-self-control the
ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ'
men to-lead itself indeed not is-able to-lead the but
ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. Πῶς; ἔφη. Ἡ
self-control of-all most to-take-pleasure makes how he-said the
μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν οὔτε δίψος
indeed lack-of-self-control not allowing to-endure either hunger or thirst
οὔτε ἀφροδισίων ἐπιθυμίαν οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων
or of-sexual-pleasures desire or sleeplessness through which alone
ἔστιν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι,
it-is-possible pleasantly indeed to-eat both and to-drink and to-make-love

ἡδέως δ᾽ ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, περιμείναντας
pleasantly and to-rest both and to-sleep having-waited
καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται,
and having-held-out until — these-things as possible most-pleasant become
κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως
prevents in-the most-necessary both and most-constant notably
ἥδεσθαι· ἡ δ᾽ ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ
to-take-pleasure the but self-control alone making to-endure the-things
εἰρημένα μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ
said alone also to-take-pleasure makes worthily of-memory in
τοῖς εἰρημένοις. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις.
the-things said altogether he-said true-things you-say
Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν καὶ τοῦ 10
but indeed of-the to-learn something fine and good and of-the
ἐπιμεληθῆναι τῶν τοιούτων τινός, δι᾽ ὧν ἄν τις καὶ
to-care-for — of-such-things any-of-them through which — anyone both
τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε καὶ τὸν ἑαυτοῦ οἶκον
— his-own body well might-manage and — his-own household
καλῶς οἰκονομήσειε καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο
well might-administer and to-friends and to-a-city useful might-become
καὶ ἐχθροὺς κρατήσειεν, ἀφ᾽ ὧν οὐ μόνον ὠφέλειαι,
and enemies might-overcome from which not only benefits
ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς
but also pleasures greatest arise the indeed self-controlled
ἀπολαύουσι πράττοντες αὐτά, οἱ δ᾽ ἀκρατεῖς οὐδενὸς
enjoy doing them the but uncontrolled of-nothing
μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων
partake to-whom for — less would-we-say — of-such-things
προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν,
to-belong than to-whom least it-is-possible these-things to-do
κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς;
held-fast to the to-be-busied about the nearest pleasures

11 καὶ ὁ Εὐθύδημος· Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν
and — Euthydemus you-seem to-me he-said O Socrates to-say
ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν
that to-a-man weaker-than the through the body pleasures altogether
οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ
of-no virtue belongs what for differs he-said O
Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου;
Euthydemus a-man uncontrolled from-a-beast the most-ignorant
ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα
whoever for the indeed best-things not considers the most-pleasant
δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι
but by every way seeks to-do what — would-he-differ
τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι
from-the most-senseless cattle but to-the self-controlled
μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων,
alone it-is-possible to-consider the best of-the things
καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη τὰ μὲν
and by-word and deed sorting according-to kinds the indeed
ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.
good-things to-choose from-the but bad-things to-abstain

12 καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας
and so he-said best both and happiest men
γίγνεσθαι καὶ διαλέγεσθαι δυνατωτάτους· ἔφη δὲ καὶ
to-become and to-converse most-able he-said and also
τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ
the to-converse to-have-been-named from the coming-together in-common
βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα.
to-deliberate sorting according-to kinds the matters
[δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν
it-was-needful then to-try as most for this oneself
ἕτοιμον παρασκευάζειν καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι·
ready to-make and of-this most to-take-care

ἐκ τούτου γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε καὶ
from this for to-become men best both and
ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους.]
most-fit-to-lead and most-skilled-in-dialectic

VI · DEFINITIONS WITH EUTHYDEMUS

Socrates trained his companions in dialectic by defining things. With Euthydemus he defines the pious man as one who knows the laws about the gods, the just man as one who knows those about men, wisdom as knowledge, the good and the beautiful as the useful, and courage as knowing how to deal with dangers. He also defines kingship, tyranny, and the constitutions, and when contradicted he led the argument back to its premise.

Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, 1
how and also more-skilled-in-dialectic he-made the associates
πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν
I-shall-try also this to-tell Socrates for those indeed
εἰδότας, τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς
knowing what each might-be of-the things-that-are he-thought also to-the
ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη
others — to-explain to-be-able those but not knowing nothing he-said
θαυμαστὸν εἶναι αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν·
marvelous to-be themselves both to-err and others to-mislead
ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον
for-which for-the-sake considering with the associates what each
εἴη τῶν ὄντων, οὐδέποτ' ἔληγε. πάντα μὲν οὖν ᾗ
might-be of-the things-that-are never did-he-cease all indeed then how
διωρίζετο πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ
he-defined much work — it-would-be to-go-through in as-many-as but
τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω.
the manner of-the examination to-show I-think so-many I-shall-tell

2 πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει· Εἰπέ μοι,
first and about piety thus somehow he-considered tell me
ἔφη, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; καὶ
he-said O Euthydemus what-sort some do-you-think piety to-be and
ὅς· Κάλλιστον νὴ Δί᾽, ἔφη. Ἔχεις οὖν εἰπεῖν ὁποῖός τις ὁ
he finest by Zeus he-said can-you then say what-sort some the
εὐσεβής ἐστιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν.
pious-man is to-me indeed it-seems he-said he the gods honoring
Ἔξεστι δὲ ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν;
is-it-possible and whatever — someone wishes way the gods to-honor
Οὐκ ἀλλὰ νόμοι εἰσὶ καθ᾽ οὓς δεῖ τοὺς θεοὺς τιμᾶν.
no but laws there-are according-to which it-is-needful the gods to-honor
3 Οὐκοῦν ὁ τοὺς νόμους τούτους εἰδὼς εἰδείη ἂν ὡς
therefore he the laws these knowing would-know — how
δεῖ τοὺς θεοὺς τιμᾶν; Οἶμαι ἔγωγ᾽, ἔφη. Ἆρ᾽ οὖν
it-is-needful the gods to-honor I-think I-at-least he-said so then
ὁ εἰδὼς ὡς δεῖ τοὺς θεοὺς τιμᾶν οὐκ ἄλλως οἴεται
he knowing how it-is-needful the gods to-honor not otherwise thinks
δεῖν τοῦτο ποιεῖν ἢ ὡς οἶδεν; Οὐ γὰρ οὖν, ἔφη.
it-needful this to-do than as he-knows not for then he-said
Ἄλλως δέ τις θεοὺς τιμᾷ ἢ ὡς οἴεται δεῖν;
otherwise and does-anyone gods honor than as he-thinks it-needful
4 Οὐκ οἶμαι, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα
not I-think he-said he then the-things concerning the gods lawful
εἰδὼς νομίμως ἂν τοὺς θεοὺς τιμῴη; Πάνυ μὲν οὖν. Οὐκοῦν
knowing lawfully — the gods would-honor certainly indeed then therefore
ὅ γε νομίμως τιμῶν ὡς δεῖ τιμᾷ; Πῶς γὰρ οὔ; Ὁ
he at-least lawfully honoring as it-is-needful honors how for not he
δέ γε ὡς δεῖ τιμῶν εὐσεβής ἐστι; Πάνυ μὲν οὖν,
and at-least as it-is-needful honoring pious is certainly indeed then

ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς ὀρθῶς
he-said he then the-things concerning the gods lawful knowing rightly
ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη; Ἐμοὶ γοῦν, ἔφη, δοκεῖ.
— by-us pious defined would-be to-me at-any-rate he-said it-seems
Ἀνθρώποις δὲ ἆρα ἔξεστιν ὃν ἄν τις τρόπον 5
with-men and then is-it-possible whatever — someone way
βούληται χρῆσθαι; Οὐκ ἀλλὰ καὶ περὶ τούτους [ὁ εἰδὼς ἅ]
wishes to-use no but also about these he knowing what
ἐστι νόμιμα, καθ' ἃ δεῖ [πρὸς ἀλλήλους χρῆσθαι,
are lawful according-to which it-is-needful toward one-another to-behave
νόμιμος ἂν εἴη]. Οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι
lawful — would-be therefore those according-to these-things dealing
ἀλλήλοις ὡς δεῖ χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ
with-one-another as it-is-needful deal how for not therefore those
γε ὡς δεῖ χρώμενοι καλῶς χρῶνται; Πάνυ μὲν οὖν,
at-least as it-is-needful dealing well deal certainly indeed then
ἔφη. Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι
he-said therefore those at-least with-the men well dealing
καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός γ', ἔφη.
well do the-human affairs likely at-least he-said
[Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦσι;
therefore those the laws obeying just-things these do
Πάνυ μὲν οὖν, ἔφη.] Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα 6
certainly indeed then he-said just-things and do-you-know he-said what-sort
καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες
are-called what the laws command he-said those then doing
ἃ οἱ νόμοι κελεύουσι δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ;
what the laws command just-things both do and what is-needful
Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες δίκαιοί
how for not therefore those at-least the just-things doing just
εἰσιν; Οἶμαι ἔγωγ', ἔφη. Οἴει οὖν τινας πείθεσθαι τοῖς
are I-think I-at-least he-said do-you-think then any to-obey the

νόμοις μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη.
laws not knowing what the laws command not I-at-least he-said
Εἰδότας δὲ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν
knowing and what it-is-needful to-do do-you-think any to-think it-needful
μὴ ταῦτα ποιεῖν; Οὐκ οἶμαι, ἔφη. Οἶσθα δέ τινας ἄλλα
not these-things to-do not I-think he-said do-you-know and any other-things
ποιοῦντας ἢ ἃ οἴονται δεῖν; Οὐκ ἔγωγ', ἔφη. Οἱ ἄρα
doing than what they-think it-needful not I-at-least he-said those then
τὰ περὶ ἀνθρώπους νόμιμα εἰδότες οὗτοι τὰ δίκαια
the-things concerning men lawful knowing these the just-things
ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τὰ δίκαια
do certainly indeed then he-said therefore those at-least the just-things
ποιοῦντες δίκαιοί εἰσι; Τίνες γὰρ ἄλλοι; ἔφη. Ὀρθῶς ἄν
doing just are who for others he-said rightly —
ποτε ἄρα ὁριζοίμεθα ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας
ever then would-we-define defining just to-be those knowing
τὰ περὶ ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη.
the-things concerning men lawful to-me-at-least it-seems he-said

7 Σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι; εἰπέ μοι, πότερά σοι
wisdom and what — would-we-say to-be tell me whether to-you
δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι,
seem the wise what they-know in-these-things wise to-be
ἢ εἰσί τινες ἃ μὴ ἐπίστανται σοφοί; Ἃ ἐπίστανται
or are some what not they-know wise what they-know
δῆλον ὅτι, ἔφη· πῶς γὰρ ἄν τις, ἅ γε μὴ
clear that he-said how for — could-anyone what at-least not
ἐπίσταιτο, ταῦτα σοφὸς εἴη; Ἆρ' οὖν οἱ σοφοὶ ἐπιστήμῃ
he-knew in-these wise be so then the wise by-knowledge
σοφοί εἰσι; Τίνι γὰρ ἄν, ἔφη, ἄλλῳ τις εἴη σοφός,
wise are by-what for — he-said other anyone could-be wise
εἴ γε μὴ ἐπιστήμῃ; Ἄλλο δέ τι σοφίαν οἴει
if at-least not by-knowledge other and anything wisdom do-you-think

εἶναι ἢ ᾧ σοφοί εἰσιν; Οὐκ ἔγωγε. Ἐπιστήμη ἄρα
to-be than that-by-which wise they-are not I-at-least knowledge then
σοφία ἐστίν; Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ
wisdom is to-me-at-least it-seems so then seems to-you for-a-man
δυνατὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; Οὐδὲ μὰ Δί'
possible to-be the things-that-are all to-know not-even by Zeus
ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. Πάντα μὲν ἄρα σοφὸν
to-me-at-least a-very-small part of-them in-all indeed then wise
οὐχ οἷόν τε ἄνθρωπον εἶναι; Μὰ Δί' οὐ δῆτα, ἔφη. Ὃ ἄρα
not possible — a-man to-be by Zeus not indeed he-said what then
ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν; Ἔμοιγε δοκεῖ.
knows each in-this also wise he-is to-me-at-least it-seems
Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; 8
so then O Euthydemus also the-good thus to-be-sought is
Πῶς; ἔφη. Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι;
how he-said seems to-you the same for-all beneficial to-be
Οὐκ ἔμοιγε. Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον οὐ δοκεῖ
not to-me-at-least what and the-thing for-one beneficial not seems
σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; Καὶ μάλα, ἔφη. Ἄλλο
to-you sometimes for-another harmful to-be yes very he-said other
δ' ἄν τι φαίης ἀγαθὸν εἶναι ἢ τὸ ὠφέλιμον;
and — anything would-you-say good to-be than the beneficial
Οὐκ ἔγωγ', ἔφη. Τὸ ἄρα ὠφέλιμον ἀγαθόν ἐστιν ὅτῳ
not I-at-least he-said the then beneficial good is to-whomever
ἂν ὠφέλιμον ᾖ; Δοκεῖ μοι, ἔφη.
— beneficial it-be it-seems to-me he-said
Τὸ δὲ καλὸν ἔχοιμεν ἄν πως ἄλλως εἰπεῖν; ἢ ἔστιν, ὃ 9
the and beautiful could-we — somehow otherwise say or is-there what
ὀνομάζεις καλὸν ἢ σῶμα ἢ σκεῦος ἢ ἄλλ' ὁτιοῦν, ὃ
you-name beautiful either body or vessel or other anything-whatever which
οἶσθα πρὸς πάντα καλὸν ὄν; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Ἆρ'
you-know for all-things beautiful being by Zeus not I-at-least he-said so

οὖν, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ
then for whatever — each useful be for this for-each
καλῶς ἔχει χρῆσθαι; Πάνυ μὲν οὖν, ἔφη. Καλὸν δὲ πρὸς
well is-it to-use certainly indeed then he-said beautiful and for
ἄλλο τί ἐστιν ἕκαστον, ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει
other anything is each than for what for-each well it-is
χρῆσθαι; Οὐδὲ πρὸς ἓν ἄλλο, ἔφη. Τὸ χρήσιμον ἄρα καλόν
to-use not-even for one other-thing he-said the useful then beautiful
ἐστι πρὸς ὃ ἂν ᾖ χρήσιμον; Ἔμοιγε δοκεῖ, ἔφη.
is for whatever — it-be useful to-me-at-least it-seems he-said
10 Ἀνδρείαν δέ, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι;
courage and O Euthydemus then among-the fine-things do-you-think to-be
Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς
finest indeed then I-at-least he-said useful then not for
τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; Νὴ Δί', ἔφη, πρὸς τὰ
the least-things do-you-think the courage by Zeus he-said for the
μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά
greatest-things indeed then so then seems to-you for the terrible-things
τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά;
both and dangerous useful to-be the to-be-ignorant-of them
Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα
least at-least he-said those then not fearing — such-things
διὰ τὸ μὴ εἰδέναι τί ἐστιν οὐκ ἀνδρεῖοί εἰσι; Νὴ
because-of the not to-know what they-are not courageous are by
Δί', ἔφη, πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε μαινομένων
Zeus he-said many for — so at-least of-the both mad
καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δὲ οἱ καὶ τὰ μὴ
and the cowards courageous would-be what and those even the not
δεινὰ δεδοικότες; Ἔτι γε νὴ Δί' ἧττον, ἔφη. — Ἆρ'
terrible-things fearing still at-least by Zeus less he-said so

οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα
then those indeed good toward the terrible-things and dangerous
ὄντας ἀνδρείους ἡγεῖ εἶναι, τοὺς δὲ κακοὺς δειλούς;
being courageous do-you-think to-be those but bad cowardly
Πάνυ μὲν οὖν, ἔφη. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις 11
certainly indeed then he-said good and toward — such-things do-you-think
ἄλλους τινὰς ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι;
other any than those able them well to-use
Οὐκ ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις
no but these he-said bad and then those such-as these
κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους; ἔφη. Ἆρ' οὖν ἕκαστοι
badly to-use whom for others he-said so then each
χρῶνται ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως; ἔφη. Ἆρ'
use as they-think it-needful how for otherwise he-said so
οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι ἴσασιν ὡς δεῖ
then those not able well to-use know how it-is-needful
χρῆσθαι; Οὐ δήπου γε, ἔφη. Οἱ ἄρα εἰδότες, ὡς δεῖ
to-use not surely at-least he-said those then knowing how it-is-needful
χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γ', ἔφη. Τί δέ;
to-use these also are-able alone at-least he-said what and
οἱ μὴ διημαρτηκότες ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις;
those not having-erred then badly use — such-things
Οὐκ οἶμαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν;
not I-think he-said those then badly using have-erred
Εἰκός γ', ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς
likely at-least he-said those indeed then knowing-how the terrible-things
τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι ἀνδρεῖοί εἰσιν, οἱ δὲ
both and dangerous well to-use courageous are those but
διαμαρτάνοντες τούτου δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη.
erring in-this cowardly to-me-at-least they-seem he-said

12 Βασιλείαν δὲ καὶ τυραννίδα ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο
kingship and and tyranny rules indeed both he-thought
εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ
to-be to-differ but from-one-another he-thought the indeed for
ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν
willing both of-the men and according-to laws of-the
πόλεων ἀρχὴν βασιλείαν ἡγεῖτο, τὴν δὲ ἀκόντων τε καὶ μὴ
cities rule kingship he-thought the but of-unwilling both and not
κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα.
according-to laws but as the ruler wished tyranny
καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ
and where indeed from those the lawful-things performing the offices
καθίστανται, ταύτην μὲν τὴν πολιτείαν ἀριστοκρατίαν
are-filled this indeed the constitution aristocracy
ἐνόμιζεν εἶναι, ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν,
he-thought to-be where but from property-ratings plutocracy
ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.
where and from all democracy

13 Εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι μηδὲν ἔχων σαφὲς
if and someone with-him about something contradicted nothing having clear
λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως ἤτοι σοφώτερον φάσκων
to-say but without proof either wiser claiming
εἶναι ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον ἢ ἀνδρειότερον ἢ
to-be whom himself he-meant or more-statesmanlike or braver or
ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν
other something — of-such-things to the hypothesis he-would-bring-back
ἂν πάντα τὸν λόγον ὧδέ πως·
— all the argument thus somehow

14 Φὴς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς ἢ
you-say you better citizen to-be whom you praise than
ὃν ἐγώ; Φημὶ γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον
whom I I-say for indeed why then not that first

ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν
did-we-consider what is the-work of-a-good citizen let-us-do
τοῦτο. Οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ
this therefore in indeed of-money management would-prevail — he
χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; Πάνυ μὲν οὖν.
with-money more-prosperous the city making certainly indeed then
Ἐν δέ γε πολέμῳ ὁ καθυπερτέραν τῶν ἀντιπάλων;
in and at-least war he superior than-the opponents
Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ ἆρ᾽ ὃς ἂν φίλους
how for not in and an-embassy then whoever — friends
ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκός γε. Οὐκοῦν καὶ ἐν
instead-of enemies provides likely at-least therefore also in
δημηγορίᾳ ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν;
public-speaking he factions both stopping and concord producing
Ἔμοιγε δοκεῖ. οὕτω δὲ τῶν λόγων ἐπαναγομένων καὶ
to-me-at-least it-seems so and the arguments being-brought-back also
τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές.
to-the contradicting themselves evident became the-truth
ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν 15
whenever and himself anything in-the argument went-through through the
μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν
most agreed-upon-things he-proceeded thinking this —
ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα ὧν
safety to-be of-argument therefore much most of-whom
ἐγὼ οἶδα, ὅτε λέγοι, τοὺς ἀκούοντας ὁμολογοῦντας
I know when he-spoke the hearers agreeing
παρεῖχε. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ
he-made he-said and also Homer — to-Odysseus to-have-ascribed the
ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν
safe speaker to-be as able him being through the
δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους.
seeming to-the men to-lead the arguments

Socrates made his companions self-sufficient. He taught geometry only as far as measuring land, and astronomy only as far as telling the hours and seasons, warning against Anaxagoras' speculations about the sun. Arithmetic too was to be learned only where useful. He urged them to care for their health, and to use divination for what human wisdom cannot know.

1 Ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο
that indeed then simply — his-own opinion declared
Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον
Socrates to those associating with-him seems to-me clear
ἐκ τῶν εἰρημένων εἶναι· ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς
from the-things said to-be that and also self-sufficient in the
προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο
fitting actions them to-be he-took-care now this
λέξω. πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα ἔμελεν
I-shall-tell of-all indeed for whom I know most it-concerned
αὐτῷ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων
him to-know in-what anyone knowledgeable was of-the associates
αὐτῷ· ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ τι
with-him of-what and it-befits a-man fine and-good to-know what ever
μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ
indeed himself knew of-all most-eagerly he-taught in-what but
αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς.
himself more-inexperienced was to those knowing he-led them
2 ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι
he-taught and also up-to what-point it-was-needful experienced to-be
ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα
in-each matter the rightly educated for-instance
γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν,
geometry up-to indeed this he-said it-is-needful to-learn

ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ
until capable anyone became if ever it-should-be-needful land by-measure
ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι ἢ διανεῖμαι ἢ ἔργον
rightly either to-take-over or to-hand-over or to-divide or work
ἀποδείξασθαι· οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν ὥστε τὸν
to-show so and this easy to-be to-learn that the
προσέχοντα τὸν νοῦν τῇ μετρήσει ἅμα τήν τε γῆν
attending the mind to-the measurement at-the-same-time the both land
ὁπόση ἐστὶν εἰδέναι καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι.
how-much is to-know and how it-is-measured knowing to-go-away
τὸ δὲ μέχρι τῶν δυσσυνέτων διαγραμμάτων γεωμετρίαν 3
the but up-to the hard-to-understand diagrams geometry
μανθάνειν ἀπεδοκίμαζεν. ὅ τι μὲν γὰρ ὠφελοίη ταῦτα,
to-learn he-disapproved what ever indeed for they-benefited these-things
οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν· ἔφη
not he-said to-see and-yet not inexperienced at-least of-them he-was he-said
δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν καὶ
and these-things sufficient to-be of-a-man life to-wear-away and
ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν.
from-other many both and useful studies to-hinder
ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ 4
he-bade and also of-astronomy experienced to-become and
ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ
of-this however up-to the of-night both hour and of-month and
ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν ἕνεκα πορείας τε καὶ πλοῦ
of-year to-be-able to-know for-the-sake of-journey both and voyage
καὶ φυλακῆς, καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ
and watch and as-many-as other-things either by-night or by-month or
ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ᾽ ἔχειν τεκμηρίοις χρῆσθαι,
by-year are-done for these-things to-have signs to-use
τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας· καὶ ταῦτα δὲ
the hours of-the said distinguishing and these-things and

ῥᾴδια εἶναι μαθεῖν παρά τε νυκτοθηρῶν καὶ κυβερνητῶν
easy to-be to-learn from both night-hunters and steersmen
καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι.
and others many to-whom it-is-a-concern these-things to-know
5 τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ
the but up-to this astronomy to-learn up-to the
καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα, καὶ τοὺς
also the-things not in the same revolution being and the
πλάνητάς τε καὶ ἀσταθμήτους ἀστέρας, γνῶναι καὶ
planets both and unstable stars to-know and
τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς καὶ τὰς περιόδους
the distances of-them from the earth and the periods
καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς
and the causes of-them seeking to-be-worn-out strongly
ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις
he-dissuaded benefit indeed for none not-even in these-things
ἔφη ὁρᾶν· καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν· ἔφη
he-said to-see and-yet not-even of-these at-least unacquainted he-was he-said
δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον
and also these-things sufficient to-be to-wear-away of-a-man life
καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν.
and from-many and useful to-hinder
6 ὅλως δὲ τῶν οὐρανίων, ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται,
altogether and of-the heavenly-things how each the god contrives
φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν· οὔτε γὰρ εὑρετὰ
a-thinker to-become he-dissuaded neither for discoverable
ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι οὔτε χαρίζεσθαι θεοῖς
by-men them he-thought to-be nor to-please the-gods
ἂν ἡγεῖτο τὸν ζητοῦντα ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ
— he-considered the-one seeking what those to-make-clear not
ἐβουλήθησαν. κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι
wished to-run-the-risk and — he-said also to-go-mad

τὸν ταῦτα μεριμνῶντα οὐδὲν ἧττον ἢ Ἀναξαγόρας
the-one these-things pondering no less than Anaxagoras
παρεφρόνησεν ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν
